ΕΡΩΤΗΜΑ ΤΑ ΤΟΥ ΧΡΥΣΟ ΛΩΡΑ.

ις πόσα διαιροῦνται τὰ εἴ
κοσιτέσσαρα γράμμα-
τα. ἃ καὶ στοιχεῖα λέγονται,
εἰς δύο. εἰς φωνήεντα καὶ εἰς σύμφω
να. Πόσα φωνήεντα. ἑπτά. α. ε.
η. ι. υ ψιλὸν. ο μικρὸν καὶ ω μέγα.
Εἰς πόσα διαιροῦνται τὰ ἑπτὰ φω
νήεντα, εἰς τρία εἰς μακρὰ εἰς βραχέα
καὶ εἰς δίχρονα. Πόσα μακρά,
δύο η. καὶ ω μέγα. Πόσα βραχέα,
δύο ε. ψιλὸν καὶ ο μικρόν. Πόσα
δίχρονα, τρία. α. ι. υ. Πόσαι δίφ
θογγοι κυρίως ἕξ, αι. αυ. ει. ευ. οι. ου

Εἰσὶ καὶ ἄλλαι διφθογγοι πέντε· κα
ταχρηστικῶς λεγόμεναι ·α·η·ηυ·ῳ ·ωυ
ω· Πόσα σύμφωνα, δεκαεπτά·
β·γ δ ζ θ κ λ μ ν ξ π ρ σ τ φ·
χ·ψ· Εἰς πόσα διαιροῦνται τὰ
δεκαεπτὰ σύμφωνα, εἰς δύο εἰς ἡ-
μίφωνα καὶ ἄφωνα. πόσα ἡμί-
φωνα, ὀκτὼ· ζ·ξ ψ λ μ ν ρ σ·
Εἰς πόσα διαιροῦνται τὰ ὀκτὼ ἡ
μίφωνα, εἰς τρία· εἰς διπλᾶ εἰς ἀμε-
τάβολα καὶ εἰς τὸ σῆγμα. πό
σα διπλᾶ, τρία·ζ ξ ψ. πόσα ἀ
μετάβολα, τέσσαρα· ἃ καὶ ὑγρὰ λέ
γονται·λ μ ν ρ· πόσα ἄφωνα,
ἐννέα β γ δ κ π τ θ φ χ ·Εἰς πό-
σα διαιροῦνται τὰ ἐννέα ἄφωνα, εἰσ
τρία· εἰς ψιλὰ εἰς δασέα καὶ εἰς μέ
σα. πόσα ψιλὰ, τρία κ π τ·
πόσα δασέα, τρία·θ φ χ· πόσα

μέσα, τρία· β γ δ. Ἀντίστοιχα δὲ τὰ δασέα τοῖς ψιλοῖς· τὸ μὲν φ τῷ π, τὸ δὲ χ τῷ κ, τὸ δὲ θ τῷ τ. Καί ἐστι τὸ μὲν β μέσον τοῦ π καὶ φ, τὸ δὲ γ μέσον τοῦ κ καὶ χ, τὸ δὲ δ μέσον τοῦ θ καὶ τ.

π — β — φ
κ — γ — χ
τ — δ — θ

περὶ συλλαβῆς.

Τί ἐστι συλλαβή; συνέλασις τοῦ λαχίστου δύο γραμμάτων. καταχρηστικῶς δὲ καὶ αἱ μονογράμματοι συλλαβαὶ λέγονται, οἷον α ε.

Εἰς πόσα διαιρεῖται ἡ συλλαβή; εἰς τρία· εἰς μακρὰν, εἰς βραχεῖαν καὶ εἰς κοινήν. ποσαχῶς λέγεται ἡ μακρὰ συλλαβή; διχῶς· ἢ γὰρ φύσει, ἢ θέσει. φύσει μὲν, ὁπόταν ἓν τῶν μακρῶν φωνηέντων ἢ δίφθογγον, ἢ ἓν τῶν διχρόνων ἐκτεταμένον ἔχῃ. θέσει δὲ ὅταν μετὰ τὸ ἐν αὐτῇ φύσει

βραχὺ φωνῆεν δύο σύμφωνα ὑπο-
σοῦν ἐπιφέρηται. πλὴν ἀφώνου πρὸ
ἀμεταβόλου τότε γὰρ κοινὴ γίνεται.
δυναμένη μακρὰ εἶναι ἡ αὐτὴ καὶ
βραχεῖα.

περὶ λέξεως.

Τί ἐστι λέξις, μέρος σημαντικὸν ἐλα-
χίστου τοῦ κατὰ σύνταξιν λόγου.

περὶ προσῳδιῶν.

πόσαι προσῳδίαι, δέκα ὀξεῖα βα-
ρεῖα περισπωμένη μακρὰ βραχεῖα
δασεῖα ψιλὴ ἀπόστροφος ὑφὲν καὶ
ὑποδιαστολή. Εἰς πόσα διαι-
ροῦνται αἱ δέκα προσῳδίαι εἰς τέσσα-
ρα εἰς τόνους εἰς χρόνους εἰς πνεύμα-
τα καὶ εἰς πάθη. πόσοι τόνοι τρεῖς
ὀξεῖα βαρεῖα καὶ περισπωμένη.
Σημείωσαι ὅτι οἱ μὲν τόποι τῆς ὀξεί-
ας, τρεῖς εἰσὶν ἡ λήγουσα ἡ παραλή

γουσα καὶ ἡ προπαραλήγουσα· τῆς
δὲ βαρείας τόπος ἡ λήγουσα· τῆς
δὲ περισπωμένης ἡ λήγουσα καὶ ἡ πα-
ραλήγουσα. Ἔτι σημείωσαι ὅτι τὸ
ἐπὶ τῆς ληγούσης ἔχον τὴν ὀξεῖαν
καὶ τὴν βαρεῖαν ὀξύτονον καλεῖται·
τὸ δὲ ἐπὶ τῆς παραληγούσης ἔχον
τὴν ὀξεῖαν, παροξύτονον καὶ βαρύ-
τονον· τὸ δὲ ἐπὶ τῆς προπαραληγού-
σης προπαροξύτονον καὶ βαρύτο-
νον. Ἔτι τὸ τὴν περισπωμένην ἔ-
χον, ἐπὶ μὲν τῆς ληγούσης περισπώ-
μενον ἐπὶ δὲ τῆς παραληγούσης βα-
ρύτονον καὶ περισπώμενον. Σημεί-
ωσαι ὅτι μακρᾶς οὔσης ἐπὶ τέλους
οὐ δύναται προπαροξυνθῆναι λέξις·
πρὸ δύο συλλαβῶν δ' ἔστι τόνος, πε-
ρισπωμένη οὐ τίθεται ὀξεῖα δὲ ἀεί.
Ἐπάνω θέσει μακρᾶς περισπωμένη οὐ

τίθεται ὀξεῖα δὲ ἀεί. Μακρὰ πρὸ
μακρᾶς οὐ περισπᾶται ὀξεῖαν δὲ ἔ-
χει ἀεί. πᾶσα δὲ φύσει μακρὰ, πρὸ
βραχείας ληκτικῆς ἐν ἑνὶ μέρει λόγου
οὖσα καὶ ἐφ᾽ αὐτῆς ἔχουσα τὸν τόνον
περισπᾶται. πόσοι χρόνοι; δύο ἡ μακρὰ, καὶ ἡ βραχ[εῖα]
Πόσα πνεύματα δύο ἡ δασεῖα.
καὶ ἡ ψιλή. ποῖος ἐστὶ τῶν πνευμά-
των τόπος πάντα τὰ ἀρκτικὰ
μόνα τῶν λέξεων φωνήεντα. καὶ τῶν
συμφώνων μόνον τὸ ρ ἐν ἀρχαῖς λέξε-
ων εὑρισκόμενον. πόσα πάθη τρία. ἡ
ἀπόστροφος ἡ ὑφὲν καὶ ἡ ὑποδιαστο-
λή.

περὶ λόγου.

Τί ἐστι λόγος λέξεων σύνθεσις διάνοιαν
αὐτοτελῆ δηλοῦσα. πόσα μέρη
τοῦ λόγου ὀκτὼ ὄνομα ῥῆμα μετο-
χὴ ἄρθρον ἀντωνυμία πρόθεσις ἐπίρρη-

μα σύνδεσμος.

περὶ ὀνόματος.

πόσα παρέπεται τῷ ὀνόματι; πέν
τε· γένη, εἴδη, σχήματα, ἀριθμοί,
πτώσεις. πόσα γένη; τρία·
ἀρσενικόν, θηλυκόν, καὶ οὐδέτερον.
Τί ἐστιν ἀρσενικὸν γένος; οὗ προτά
σσεται κατ' εὐθεῖαν καὶ ἑνικὴν πτῶ
σιν ἄρθρον τὸ ὁ, οἷον ὁ Αἴας. τί ἐστι
θηλυκὸν γένος; οὗ προτάσσεται κατ' εὐ
θεῖαν καὶ ἑνικὴν πτῶσιν ἄρθρον τὸ ἡ,
οἷον ἡ μοῦσα. τί ἐστιν οὐδέτερον
γένος; οὗ προτάσσεται κατ' εὐθεῖαν
καὶ ἑνικὴν πτῶσιν ἄρθρον τὸ τό, οἷ
ον τὸ βῆμα.

Πόσα εἴδη; δύο· πρωτότυπον καὶ
παράγωγον. πόσα σχήματα; τρία·
ἁπλοῦν, σύνθετον, παρασύνθετον.
πόσοι ἀριθμοί; τρεῖς· ἑνικός, δυϊκός.

καὶ πληθυντικός. πόσαι πτώσεις; πέντε· ὀρθὴ ἢ καὶ εὐθεῖα λέγεται, γενικὴ, δοτικὴ, αἰτιατικὴ καὶ κλητική.

περὶ ἄρθρων.

Τῶν ἄρθρων, τὰ μὲν προτακτικὰ, τὰ δὲ ὑποτακτικά. προτακτικὰ μὲν ἀρσενικά ἐστι ταῦτα. ἑνικὰ ἡ εὐθεῖα. ὁ ἡ γενικὴ τοῦ ἡ δοτικὴ τῷ ἡ αἰτιατικὴ τόν. δυϊκὰ. ἡ εὐθεῖα καὶ αἰτιατικὴ τὼ ἡ γενικὴ καὶ δοτικὴ τοῖν. πληθυντικά. ἡ εὐθεῖα οἱ ἡ γενικὴ τῶν ἡ δοτικὴ τοῖς ἡ αἰτιατικὴ τούς.

Ὑποτακτικὰ δὲ ἀρσενικὰ ταῦτα ὅς. οὗ ᾧ ὅν. δ. ὤ οἷν. π. οἵ ὧν οἷς. οὕς.

Ἄρθρα θηλυκὰ προτακτικά.

ἑνικὰ. ἡ. τῆς. τῇ. τήν. δ. τά.

ταῖν · πληθυντικὰ · αἱ · τῶν · ταῖς
τάς ·

Υποτακτικά ·

Ενικὰ · ἡ · ἧς · ᾗ · ἥν · Δ · ὰ · ᾶιν · π ·
αἱ · ὧν · αἷς · ἃς ·

Αρθρα δ᾽ οὐδέτερα προτακτικὰ ·
Ενικά · τὸ · τοῦ · τῷ · τὸ · Δ · τὼ · τοῖν
π · τὰ · τῶν · τοῖς · τὰ ·

ὑποτακτικά ·

Ενικά · ὃ · οὗ · ᾧ · ὃ Δ · ὣ · οἷν · π · ἃ ·
ὧν · οἷς · ἃ ·

Κλητικὸν δὲ ἐπίρρημα ἐν πᾶσι
τοῖς γένεσι καὶ ἐν πᾶσι τοῖς ἀριθμοῖς
ὁμοίως τὸ ὦ ·

Κλίσις τῶν ὀνομάτων ·

Τῶν ὀνομάτων τὰ μὲν κλίνονται
ἰσοσυλλάβως οἷν · αἰνίας αἰνίου · τὰ
δὲ περιττοσυλλάβως οἷον αἴας αἴαν
τος · ὥστε καὶ διχῶς ἡ μὲν κλίσις ἰσο

σύλλαβος. ἡ δὲ περιττοσύλλαβος.
Αἱ κλίσεις αἱ ἰσοσύλλαβοι τέσσαρες
εἰσὶν ὧν ἡ πρώτη ἐστὶν ἐν τοῖς ἀρσενι-
κοῖς μόνοις· δηλονότι τινῶν τῶν εἰς
ας καὶ εἰς ης διὰ τοῦ η ληγόντων ἀρσενι
κῶν ὀνομάτων. ὧν ἡ γενικὴ εἰς ου· ἡ δο
τικὴ εἰς τὸ τῆς εὐθείας τελικὸν φωνῆ
εν· καὶ ἡ αἰτιατικὴ εἰς ν μετὰ τοῦ φω
νήεντος τῆς εὐθείας λήγει· ὃ κοινόν ἐστι
πασῶν τῶν ἰσοσυλλάβων κλίσεων.

·ας·

Ἡ ὀρθὴ καὶ εὐθεῖα τῶν ἑνικῶν ὁ αἰνείας·
ἡ γενικὴ τοῦ αἰνείου· ἡ δοτικὴ τῷ αἰνεί
ᾳ· ἡ αἰτιατικὴ τὸν αἰνείαν· ἡ κλητικὴ
ὦ αἰνεία καὶ ὦ αἰνείας. ἡ εὐθεῖα καὶ
αἰτιατικὴ τῶν δυϊκῶν τὼ αἰνεία. ἡ
γενικὴ καὶ δοτικὴ τῶν δυϊκῶν τοῖν
αἰνείαιν· ἡ κλητικὴ ὦ αἰνεία. Ἡ εὐθεῖα
τῶν πληθυντικῶν οἱ αἰνεῖαι· ἡ γενικὴ
τῶν αἰνειῶν· ἡ δοτικὴ τοῖς αἰνείαις· ἡ

αἰτιατικὴ τοὺς αἰνείας ἡ κλητικὴ ὦ αἰνεία. Ὁ χρύσης ·κε·

τοῦ χρύσου τῷ χρύσῃ τὸν χρύσην ὦ χρύση καὶ ὦ χρύσης. δ. τὼ χρύσα τοῖν χρύσαιν ὦ χρύσα. π. οἱ χρῦσαι τῶν χρυσῶν τοῖς χρύσαις τοὺς χρύσας ὦ χρύσαι.

Ὁ προφήτης τοῦ προφήτου τῷ προφήτῃ τὸν προφήτην καὶ ὦ προφῆτα τὼ προφήτα τοῖν προφήταιν ὦ προφήτα οἱ προφῆται τῶν προφητῶν τοῖς προφήταις τοὺς προφήτας ὦ προφῆται.

Σημείωσαι καὶ ἐπὶ ταύτης τῆς κλίσεως καὶ καθόλου ὅτι οἱ ἀττικοὶ τὰς αὐτὰς ἔχουσιν ὀρθὰς καὶ κλητικάς. Ἔτι ἰστέον ὅτι ἡ γενικὴ τῶν πληθυντικῶν ταύτης τῆς πρώτης ὁμοίως καὶ τῆς δευτέρας κλίσεως περισπᾶται

ἐπὶ τῆς ληγούσης.

Σημείωσαι ὅτι τὰ εἰς ης λήγοντα ὀνό-
ματα ταύτης τῆς κλίσεως ἢ παρὰ
ῥῆμα εἰσὶν ἢ τὸ τ ἔχει ἢ ἐθνικά εἰσιν εἰς α
ποιεῖ τὴν κλητικὴν οἷον προφήτης πο-
λίτης ὦ πολῖτα πέρσης ὦ πέρσα.

Δευτέρα κλίσις.

Δευτέρα κλίσις τῶν ἰσοσυλλάβων ἐν
τοῖς θηλυκοῖς καὶ αὐτὴ ἰσοσύλλαβος
δηλονότι πάντων τῶν εἰς α ἢ εἰς η
ληγόντων θηλυκῶν ὀνομάτων ὧν ἡ γε-
νικὴ εἰς ας ἢ εἰς ης· καὶ ἡ δοτικὴ
εἰς α ἢ εἰς η καὶ ἡ αἰτιατικὴ εἰς ν με-
τὰ τοῦ φωνήεντος τῆς εὐθείας λήγει.

· α ·

Ἡ μαῖα τῆς μαίας τῇ μαίᾳ τὴν
μαίαν ὦ μαῖα τὼ μαία ταῖν μαίαιν
ὦ μαία· αἱ μαῖαι τῶν μαιῶν ταῖς
μαίαις τὰς μαίας ὦ μαῖαι.

Ἡ μοῦσα τῆς μούσης τῇ μούσῃ τὴν

μοῦσαν ὦ μοῦσα τὼ μούσα ταῖν
μούσαιν ὦ μούσα αἱ μοῦσαι τῶν μου
σῶν ταῖς μούσαις τὰς μούσας ὦ
μοῦσαι.

·Η·

Ἡ τιμὴ τῆς τιμῆς τῇ τιμῇ τὴν τιμὴν
ὦ τιμὴ τὼ τιμὰ ταῖν τιμαῖν ὦ τι
μὰ αἱ τιμαὶ τῶν τιμῶν ταῖς τιμαῖς
τὰς τιμὰς ὦ τιμαί.

Σημείωσαι ἐπὶ ταύτης τῆς δευτέρας
κλίσεως ὅσα μὲν καθαρὸν ἔχει τὸ α
ἢ μετὰ τοῦ ρ τηρεῖ αὐτὸ τὸ α καὶ ἐ
πὶ τῆς γενικῆς οἷον μαῖα μαίας ἡμέ
ρα ἡμέρας. ὅσα δὲ πρὸ τοῦ α σύμ
φωνον ἄλλο ἔχει εἰ μὲν δ ἢ θ εἰς η εἰς ας
ποιεῖ τὴν γενικήν. λήδα λήδας κι-
σαίθα κισσαίθης εἰ δὲ ἄλλο σύμφω
νον ἔχει εἰς η αὐτὸ τὸ α τρέπει οἷον μοῦ
σα μούσης δίψα δίψης γλῶττα
γλώττης θάλασσα θαλάσσης.

Τρίτη κλίσις τοῦ ὀνόματός ἐστιν ἐν τοῖς ἀρσενικοῖς καὶ θηλυκοῖς καὶ οὐδετέροις καὶ αὕτη ἰσοσύλλαβος δηλονότι τινῶν τῶν εἰς ως διὰ τοῦ ω μεγάλου ληγόντων ἀρσενικῶν καὶ θηλυκῶν καὶ τῶν εἰς ων ληγόντων διὰ τοῦ ω μεγάλου οὐδετέρων· ὧν ἡ γενικὴ καὶ δοτικὴ εἰς ω μέγα καὶ ἡ αἰτιατικὴ εἰς ων μέγα δηλονότι εἰς ν μετὰ τοῦ φωνήεντος τῆς εὐθείας λήγει.

·ως·

Ὁ μενέλεως τοῦ μενέλεω τῷ μενέλεω τὸν μενέλεων ὦ μενέλεως τὼ μενέλεω τοῖν μενέλεων ὦ μενέλεω οἱ μενέλεῳ τῶν μενέλεων τοῖς μενέλεως τοὺς μενέλεως ὦ μενέλεῳ.

Ἡ ἅλως τῆς ἅλω τῇ ἅλῳ τὴν ἅλων ὦ ἅλως τὰ ἅλω ταῖν ἅλων ὦ ἅλω αἱ ἅλῳ τῶν ἅλων ταῖς ἅλως τὰς ἅλως ὦ ἅλῳ.

Τὸ εὔγεων τοῦ εὔγεω τῷ εὔγεω τὸ εὔ- ·ων·
γεων ὦ εὔγεων τὼ εὔγεω τοῖν εὔγεων
ὦ εὔγεω· τὰ εὔγεω τῶν εὔγεων τοῖς
εὔγεως τὰ εὔγεω ὦ εὔγεω·

τετάρτη κλίσις·

Τετάρτη κλίσις τοῦ ὀνόματός ἐστι
καὶ αὐτὴ ἐν τοῖς τρισὶ γένεσι· καὶ ἰσο-
σύλλαβος δηλονότι πάντων τῶν εἰς
ος διὰ τοῦ ο μικροῦ ληγόντων ἀρσε-
νικῶν τε καὶ θηλυκῶν καὶ τῶν εἰς ον
ληγόντων οὐδετέρων πλὴν τῶν συγκρι-
τικῶν ὧν πάντων ἡ γενικὴ εἰς ου ἡ δο-
τικὴ εἰς ω καὶ ἡ αἰτιατικὴ εἰς ν μετὰ
τοῦ φωνήεντος τῆς εὐθείας λήγει·

Ὁ λόγος τοῦ λόγου τῷ λόγῳ τὸν λόγον ·ος·
ὦ λόγε καὶ ὦ λόγος τὼ λόγω τοῖν λό-
γοιν ὦ λόγω οἱ λόγοι τῶν λόγων τοῖς λό-
γοις τοὺς λόγους ὦ λόγοι·
Ἡ ὁδὸς τῆς ὁδοῦ τῇ ὁδῷ τὴν ὁδὸν

ὦ ὁδὲ καὶ ὦ ὁδὸς τὰ ὁδὼ ταῖν ὁδοῖν
ὦ ὁδώ αἱ ὁδοὶ τῶν ὁδῶν ταῖς ὁδοῖς
τὰς ὁδοὺς ὦ ὁδοί.

ον.

Τὸ ξύλον τοῦ ξύλου τῷ ξύλῳ τὸ ξύ
λον ὦ ξύλον. τὼ ξύλω τοῖν ξύλοιν ὦ ξύ
λω τὰ ξύλα τῶν ξύλων τοῖς ξύλοις
τὰ ξύλα ὦ ξύλα.

Πέμπτη κλίσις.

Καὶ αὗται μὲν. αἱ τέσσαρες ἰσοσύ-
λλαβοι ἡ πέμπτη δὲ καὶ περιττοσύ
λλαβός ἐστι· καὶ αὕτη ἐν τοῖς τρισὶ γένεσι.
Δηλονότι πάντων τῶν περιττοσυλλά
βως κλινομένων ὀνομάτων. ὧν πάν
των ἡ γενικὴ εἰς ος ἡ δοτικὴ εἰς ι ἡ αἰ
τιατικὴ εἰς α λήγει.

Ὁ αἴας τοῦ αἴαντος τῷ αἴαντι τὸν αἴ
αντα ὦ αἶαν καὶ ὦ αἴας τὼ αἴαντε
τοῖν αἰάντοιν ὦ αἴαντε οἱ αἴαντες τῶν
αἰάντων τοῖς αἴασι τοὺς αἴαντας

ὦ αἴαντες.

Ὁ θόας τοῦ θόαντος.

Τὰ εἰς ·ας· καθαρὸν ὀνόματα ἀρσενικὰ δισύλλαβα βαρύτονα μακροκατάληκτα διὰ τοῦ ·ντ· κλίνεται οἷον τὰ ἄνω.

Ὁ λάχης τοῦ λάχητος. Ὁ κέβης τοῦ κέβητος. Τὰ εἰς ·ης ἰαμβικὰ μὴ ἔχοντα τὸ ·τ· πρὸ τοῦ ης εἰς ·τος· ποιεῖ τὴν γενικήν.

Ὁ πάρις τοῦ πάριδος τῷ πάριδι τὸν πάριδα καὶ πάριν. ἡ κλητικὴ ὦ πάρι. Ὁ ἄδωνις τοῦ ἀδώνιδος. Τὰ εἰς ·ις· κύρια διὰ τοῦ δος κλίνεται οἷον τὰ ἄνω ἰωνικῶς δὲ χωρὶς τοῦ ·δ· οἷον πάριος ἀδώνιος.

Ὁ βότρυς τοῦ βότρυος. Ὁ ἥδυς τοῦ ἥδυος. Τὰ εἰς ·υς·

ὅσα μὲν τρίγενῆ ἐστὶν, οἷον ἡ ἡδὺς ἡ ἡδεῖα τὸ ἡδὺ διὰ τοῦ · εος · κλίνεται · ὅσα δὲ μονογενῆ διὰ τοῦ · υος · πλὴν τοῦ πῆχυς πήχεως · πέλεκυς πελέκεως · ἔγχελυς ἐγχέλεως · ἃ διὰ τοῦ ω μεγάλου ἀττικῶς κλίνεται ·

Ὁ ἱδρὼς τοῦ ἱδρῶτος · Ὁ γέλως τοῦ γέλωτος · Ὁ ἥρως τοῦ ἥρωος

Τὰ εἰς · ως · ἀρσενικὰ βαρύτονα, ὅσα μὲν βραχεῖα παραλήγεται, διὰ τοῦ τος κλίνεται · ὅσα δὲ μακρᾷ παραλήγεται, διὰ καθαροῦ τοῦ · ος τὰ δὲ ὀξύτονα ὑπὲρ μίαν συλλαβὴν διὰ τοῦ · ωτος ·

Ὁ χαρίεις τοῦ χαρίεντος · Ὁ εἷς τοῦ ἑνός · Τὰ εἰς · εις · ὑπὲρ μίαν συλλαβὴν διὰ τοῦ · ντ · κλίνεται τὰ δὲ μονοσύλλαβα διὰ τοῦ · ν · οἷον εἷς ἑνός · καὶ τὰ ἐξ αὐτοῦ · οὐδεὶς οὐδενός

Ὁ βοῦς τοῦ βοὸς τὸν βόα καὶ βοῦν ὦ βοῦ.
Ὁ πούς τοῦ ποδός. Ὁ παῖς τοῦ
παιδός. τὰ εἰς. ους. ἀπαθῆ, διὰ κα
θαροῦ τοῦ. ος. κλίνεται πλὴν τοῦ πούς
ποδός. Ὁ ἕλμινς τοῦ ἕλμινθος
Ὁ τίρυνς τοῦ τίρυνθος. Πᾶν ὄ
νομα εἰς δύο σύμφωνα λῆγον διὰ δύ
ο συμφώνων κλίνεται πλὴν τοῦ ἅλς ἁ
λός. Ὁ θώραξ τοῦ θώρακος. Ὁ ἅρ
παξ τοῦ ἅρπαγος. τὰ εἰς. αξ. διὰ
τοῦ. κ. κλίνεται εἰ μὴ ἀπὸ ῥήματος εἰς
ζω λήγοντος εἴη τότε γὰρ, διὰ τοῦ γ κλί
νεται.

Ὁ μύρμηξ τοῦ μύρμηκος. Ὁ βούπληξ
τοῦ βούπληγος. τὰ εἰς. ηξ. βαρύ
τονα ἁπλᾶ διὰ τοῦ. κ. κλίνεται.
τὰ δὲ σύνθετα καὶ ὀξύτονα διὰ τοῦ
. γ.

Ὁ πέρδιξ τοῦ πέρδικος. Ὁ τέττιξ

τοῦ τέττιγος. τὰ εἰς ·ιξ·
διὰ τοῦ ·κ· κλίνεται, ἐὰν μὴ τὸ ῥῆμα εἰς
ζῶ ἔχῃ· τότε γὰρ διὰ τοῦ ·γ· κλί
νεται. Ὁ δοίδυξ τοῦ δοίδυ
κος. Ὁ ὄνυξ τοῦ ὄνυχος.
τὰ εἰς ·υξ· φύσει μακρᾷ παραλήγον
τα· καὶ ἃ διὰ δύο συμφώνων ἐκφέ
ρεται, διὰ τοῦ ·κ· κλίνεται· φρὺξ ὅμως
διὰ τοῦ γ· οἷον φρυγός.
Ὁ βὼξ τοῦ βωκός. τὰ εἰς ·ωξ· ἁ
πλᾶ διὰ τοῦ κ. πλὴν ῥὼξ ῥωγός. Ὁ
κύκλωψ κύκλωπος. Ὁ μώλωψ
μώλωπος. Ὁ γὺψ γυπός. τὰ εἰς
·ψ· διὰ τοῦ ·π· κλίνονται πλὴν τοῦ
ἄραψ ἄραβος χάλυψ χάλυβος λὶψ
λιβὸς κίνυψ κίνυφος πόλις. Ὁ ἀλ
κμὰν ἀλκμᾶνος. Ὁ παιὰν τοῦ παι
ᾶνος Τὰ εἰς ·αν· ὀξυνόμενα προσθέ
σει τοῦ ·ος· κλίνεται. Ὁ ἕλλην ἕλλη

νος. Ὁ ποιμὴν τοῦ ποιμένος.
Τὰ εἰς ην. εἰ μὲν ὀξύτονα εἴη μὴ ἔχον
τα τὸ. ν. προσθέσει τοῦ. ος. κλίνον
ται οἷον σωλὴν σωλῆνος. πλὴν τοῦ αὐχὴν
αὐχένος. ὅσα δὲ τὸ ν ἔχει, τρέπει τὸ
. η. εἰς ε οἷον ποιμὴν ποιμένος. πλὴν
τοῦ μὴν μηνός. εἰ δὲ βαρύτονα εἴη καὶ
μονογενῆ, τὸ η ἔχει ἐπὶ τῆς γενικῆς.
οἷον Ἕλλην Ἕλληνος ὅσα δὲ τὸ οὐδέτε
ρον ἔχει διὰ τοῦ. ενος. κλίνεται οἷον Τέ
ρην τέρενος.

Ὁ δελφὶν τοῦ δελφῖνος. ὁ φόρχυν φόρ
χυνος. τὰ εἰς. ιν καὶ. υν. προσθέσει
τοῦ ος ποιεῖ τὴν γενικήν. ὁ λέων λέοντος
ὁ θέων θέωνος. ὁ σαρπηδὼν σαρπηδό
νος ὁ ποσειδῶν ποσειδῶνος ὁ ξενοφῶν ξε
νοφῶντος ὁ κοιτὼν κοιτῶνος. ὁ ἀγὼν ἀ
γῶνος. ὁ χειμὼν χειμῶνος.

τὰ εἰς. ων. βαρύτονα εἰ μὲν παρώνυ

μα, διὰ τοῦ ωνος κλίνεται οἷον κικέ
ρων κικέρωνος· τὰ δὲ ῥηματικὰ ἢ κοι
νὰ τῷ γένει διὰ τοῦ ονος κλίνονται οἷ
ον φιλήμων φιλήμονος βελτίων βελτί
ονος σώφρων σώφρονος· τὰ δὲ ἔχοντα
θηλυκὰ διὰ τοῦ αινα διὰ τοῦ ντ
κλίνονται οἷον θεράπων θεράποντος ὅ
τι θεράπαινα πλὴν τοῦ λάκων λάκω
νος οὗ ὁμοίως ἐστὶ λάκαινα. τὰ εἰς
ων ὀξύτονα εἰ μὲν περισπώμενα εἰσὶ δι
α τοῦ ωντος κλίνεται οἷον ξενοφῶν ξενο
φῶντος πλὴν ποσειδῶν ποσειδῶνος
καὶ ταῶν ταῶνος. εἰ δὲ μὴ περισπώμε
να καὶ εἰς δων λήγει, διὰ τοῦ ονος κλί
νεται οἷον σαρπηδὼν σαρπηδόνος
πλὴν σιδὼν σιδῶνος. εἰ δὲ περιεκτι
κὰ εἴη, ἤτοι περιεκτικὰ διὰ τοῦ ωνος
κλίνεται οἷον κοιτὼν κοιτῶνος ἀγὼν ἀ
γῶνος. ὁ ἴβηρ ἴβηρος ὁ λουτὴρ λουτῆρος

Ὁ αἰθὴρ αἰθέρος. ὁ ἀὴρ ἀέρος. τὰ εἰς ·ηρ·
εἰ μὲν τὸ τ ἔχει διὰ τοῦ τηρος κλίνε-
ται πλὴν ἀστὴρ ἀστέρος πατὴρ πατέ-
ρος. τὰ δὲ μὴ ἔχοντα τὸ τ διὰ τοῦ
ερος οἷον ἀνὴρ ἀνέρος. ὃ καὶ ἀνδρὸς λέγε-
ται πλὴν ἀπινθὴρ ἀπινθῆρος ἴβηρ ἴβηρος.
Ὁ μέστωρ μέστορος ὁ ἕκτωρ ἕκτορος.
τὰ εἰς ωρ βαρύτονα διὰ τοῦ ορος
κλίνεται οἷον μέστωρ μέστορος πλὴν τῶν ἐ-
χόντων τὸ ·λ· ἢ τὸ μ ἃ διὰ τοῦ ωρος
οἷον κέλωρ κέλωρος τέκμωρ τέκμωρος
καὶ τῶν ῥωμαϊκῶν ἀξιωμάτων οἷον δικ-
τάτωρ δικτάτωρος πραίτωρ πραί-
τωρος.

Θηλυκὰ ὀνόματα.

Ἡ τρυγὼν τῆς τρυγόνος τῇ τρυγόνι τὴν τρυ-
γόνα ὦ τρυγών. τὼ τρυγόνε ταῖν τρυγόνοιν
ὦ τρυγόνε. αἱ τρυγόνες τῶν τρυγόνων ταῖς
τρυγόσι τὰς τρυγόνας ὦ τρυγόνες. Ἡ τρή

ρων τῆς γήρωνος· ἡ μήκων τῆς μήκωνος·
τῶν εἰς ων θηλυκῶν τὰ μὲν ὀξύτονα
διὰ τοῦ ο μικροῦ κλίνονται, τὰ δὲ βα-
ρύτονα, διὰ τοῦ ω μεγάλου· ὁμοί-
ως τὰ ἐπὶ πόλεων· οἷον σιδὼν σιδῶνος
ἡ αὖλαξ τῆς αὔλακος· ἡ αἶξ τῆς αἰγός·
ἡ πίδαξ τῆς πίδακος· ἡ προὶξ τῆς
προικός· τὰ εἰς ξ θηλυκὰ, μετὰ τοῦ
φωνήεντος διὰ τοῦ κ κλίνονται πλὴν
τὰ μονοσύλλαβα· οἷον ζὺξ ζυγὸς· προὶξ
ὅμως διὰ τοῦ κ προικός·
Η σφὶγξ τῆς σφιγγός· ἡ σάλπιγξ τῆς
σάλπιγγος· ἡ σάρξ· τῆς σαρκός·
Τὰ εἰς ξ· μετὰ συμφώνου εἰ μὲν τὸ
γ· ἔχει διὰ τοῦ· γ· κλίνεται· εἰ δὲ ἄλλο
σύμφωνον ἔχει διὰ τοῦ· κ·
Η μήτηρ· τῆς μητέρος ὦ μῆτερ· ἡ θυ-
γάτηρ τῆς θυγατέρος ὦ θύγατερ· τὰ
εἰς ηρ θηλυκὰ διὰ τοῦ ερος κλίνεται

μητρὸς δὲ θυγατρὸς κατὰ συγκοπὴν
λέγονται. Ἡ λαμπὰς τῆς λαμ
πάδος. ἡ ῥϊὰς τῆς ῥϊάδος. τὰ εἰς
ας θηλυκὰ διὰ τοῦ άδος οἷον μονὰς
μονάδος. Ἡ φιλότης τῆς φιλότητος
ἡ κακότης τῆς κακότητος. ἃ εἰς της θη
λυκά, διὰ τοῦ τητος κλίνεται. ἡ μῆ
νϊς τῆς μήνιδος ἡ νεᾶνϊς τῆς νεάνιδος
τὰ εἰς ις μακρὰ παραλήγοντα διὰ
τοῦ ϊδος κλίνεται. Ἡ πίτυς τῆς πί
τυος ἡ χλαμὺς τῆς χλαμύδος. τὰ
εἰς υς βαρύτονα, διὰ τοῦ υος κλίνε-
ται. τὰ δὲ ὀξύτονα διὰ τοῦ υδος
πλὴν ἰλὺς ἰλύος.

Περὶ τῶν οὐδετέρων ὀνομάτων.

Τὸ βῆμα τοῦ βήματος. τὸ δῶμα
τοῦ δώματος. τὸ σχῆμα τοῦ σχήματος
τὸ δόμα τοῦ τος. τὰ εἰς α λήγοντα
οὐδέτερα ἀπαθῆ τὸ μ. παραλήγε

δϊ

ται καὶ διὰ τοῦ · τος · κλίνεται ·
τὸ μέλι τοῦ τος · τὰ εἰς · ι · λήγοντα
οὐδέτερα μονογενῆ ἑλληνικὰ διὰ τοῦ τος
κλίνονται · τὸ πῶϋ · ος · τὸ γόνυ · ος ·
τὸ δόρυ ος · τὰ εἰς · υ · εἰ μὲν μακρὰ
παραλήγεται διὰ τοῦ εος εἰ δὲ βραχεῖα
διὰ · νος · γόνυ · γόνυος · δόρυ · δόρυος
καὶ γουνὸς καὶ δουρὸς κατὰ μετάθε
σιν λέγεται · τὸ δέλεαρ · τος τὸ ἔαρ
ἔαρος · τὸ ἕλωρ ρος · τὸ ἧπαρ · τος
τὰ εἰς · ρ · οὐδέτερα εἰς · ρος · ποιεῖ τὴν
γενικὴν πλὴν τῶν ἑτεροκλίτων · φρέ
αρ τοῦ φρέατος · δέλεαρ · τος · ὕδωρ
ὕδατος ἧπαρ ἥπατος · τὸ βέλος
βέλεος · τὸ τεῖχος · τείχεος ·
Τὸ φῶς τοῦ φωτὸς τῷ φωτὶ τὸ φῶς ὦ
φῶς τὼ φῶτε τοῖν φώτοιν ὦ φῶτε τὰ φῶ
τα τῶν φωτῶν τοῖς φωσὶ τὰ φῶτα ὦ
φῶτα · τὸ οὖς τοῦ ὠτός · τὸ κρέας

τος· τὸ γῆρας· τοῦ γήρατος·

Περὶ τῆς αἰτιατικῆς·

Σημείωσαι ἐπὶ ταύτης τῆς πέμπτης καὶ περιττοσυλλάβου κλίσεως ὅτι τὰ εἰς ις· διὰ τοῦ· ι· ἢ διὰ τοῦ· υ· λήγοντα ὀνόματα, εἰ μὲν διὰ καθαροῦ τοῦ ·ος· κλίνοιντο, καί τοι περιττοσυλλάβως κλινόμενα ὅμως τὴν αἰτιατικὴν, εἰς ·ν· ἰσοσύλλαβον τῇ εὐθείᾳ ἔχει· οἷον, ὄφις ὄφιος ὄφιν ἡ λέξις λέξεος λέξιν ὁ βότρυς βότρυος βότρυν ἡ πίτυς πίτυος πίτυν· ἐπεὶ καθόλου ἐξέλιπεν ἡ χρῆσις τῶν εἰς ·α· αἰτιατικῶν, ἐφ᾽ ὧν ἐστὶν ἡ γενικὴ, εἰς ·ος· καθαρὸν, δίχρονῳ παραληγομένη· Καὶ ἐπὶ τῶν ὀξυτονουμένων δὲ ὡσαύτως οἷον· ὁ ἡδὺς τοῦ ἡδέος τὴν ἡδὺν· ἡ ἰλὺς τῆς ἰλύος τὴν ἰλὺν· εἰ δὲ μὴ διὰ καθαροῦ τοῦ ·ος· ἀλλὰ μετὰ συμφώνου κλίνοιντο, εἰ μὲν ὀξύτονα

κατὰ τὴν ἀκολουθίαν τῆς περιττοσυλ-
λάβου κλίσεως περιττοσύλλαβον εἰς
α. καὶ αὐτὰ ἔχει τὴν αἰτιατικὴν οἷον
κρηπὶς κρηπῖδος. κρηπῖδα. χλα-
μὺς χλαμύδος χλαμύδα. εἰ δὲ βα-
ρύτονα εἶεν οὐ μόνον περιττοσύλλα-
βον εἰς α. ἀλλὰ καὶ ἰσοσύλλαβον εἰς ν
ἔχει τὴν αἰτιατικὴν ὁ πάρις τοῦ πάρι-
δος πάριδα καὶ πάριν. ὁμοίως ἡ μῆ-
νις μήνιδος μήνιδα καὶ μῆνιν ἔπηλυς
ἐπήλυδος ἐπήλυδα καὶ ἔπηλυν ἑ-
κατέρου γένους.

Περὶ τῆς κλητικῆς.

Σημείωσαι περὶ τῶν κλητικῶν ὅτι κα-
θόλου μὲν οἱ ἀττικοὶ τὰς αὐτὰς ἔχου-
σιν ὀρθὰς καὶ κλητικάς. καὶ ἐπὶ τῶν
οὐδετέρων δὲ καθόλου ἡ αὐτή ἐστιν ὀρ-
θὴ. καὶ αἰτιατικὴ καὶ κλητική. χωρὶς
δὲ τούτων τὰ μὲν ἰσοσυλλάβως κλί-

νόμενα εἰ μὲν εἰς ·ας· λήγει, ὡς ἐπὶ τῆς
πρώτης κλίσεως ἔχει ἀποβολὴν τοῦ ·ς·
ποιεῖ τὴν κλητικήν· ὁμοίως δὲ καὶ τὰ
εἰς ·ης· ἰσοσυλλάβως κλινόμενα ὡς ἐπὶ
τῆς αὐτῆς πρώτης κλίσεως ἔχει· εἰ μὴ
παρὰ ῥῆμα εἶεν παρηγμένα ὄντα τὸ ·τ·
ἔχει ὄντα ἐθνικὰ εἶεν κατὰ ἀποβολὴν τοῦ
·σ· ποιεῖ τὴν κλητικήν· εἰ γάρ τι τῶν
εἰρημένων εἴη εἰς ·α· ποιεῖ τὴν κλητι-
κὴν τὰ δὲ εἰς ·α· καὶ εἰς ·η· λήγοντα
θηλυκά, ὡς ἐπὶ τῆς δευτέρας κλίσε-
ως ἔχει καὶ τὰ εἰς ως ἀρσενικὰ καὶ θη-
λυκὰ διὰ τοῦ ·ω· μεγάλου ὡς ἐπὶ
τῆς τρίτης κλίσεως τὴν αὐτὴν ἔχει ὀρθὴν
καὶ κλητικήν· ταῦτα δ' ἐστὶ τὰ ἀττι-
κὰ τά γε μὴν εἰς ·ος· διὰ τοῦ ·ο· μι-
κροῦ ἀρσενικὰ καὶ θηλυκά ὡς ἐπὶ τῆς
τετάρτης κλίσεως ἔχει εἰς ·ε· ποιεῖ τὴν
κλητικήν· τὰ δὲ περιττοσυλλάβως

κλινόμενα ὡς ἐπὶ τῆς πέμπτης τὴν
αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν· πλὴν
τῶν σημειουμένων κανόνων πέντε·
Τὰ διὰ τοῦ ·ντ· κλινόμενα καὶ μὴ
διφθόγγῳ παραληγόμενα ἀπὸ τῆς
γενικῆς ἀποβολῇ τοῦ ·τος· ποιεῖ τὴν κλι
τικὴν οἷον, αἴαντος ὦ αἶαν τοῦ χαρίεν
τος ὦ χαρίεν·
Τὰ εἰς ἀμετάβολον λήγοντα βαρύτο
να ἀποβάλλοντα τῆς γενικῆς τὴν ἐσ
χάτην, τὸ ·ος· ποιεῖ τὴν κλητικὴν οἷον
ἕλληνος ὦ ἕλλην· ἕκτορος ὦ ἕκτορ·
τὰ εἰς ·ης· διὰ τοῦ ·εος· εἰς ους κατὰ
συναίρεσιν ἔχοντα τὴν γενικήν, εἰς ες·
ποιεῖ τὴν κλητικὴν καὶ ἀναβιβάζει τὸν
τόνον εἰ σύνθετα εἶσι καὶ βαρύτονα οἷ
ον ὁ δημοσθένης τοῦ δημοσθένεος καὶ
δημοσθένους ὦ δημόσθενες·
Τὰ εἰς ·σ· λήγοντα μετὰ διφθόγγου

ἢ μετὰ τοῦ ·ι· ἢ μετὰ τοῦ ·υ· ἀποβο-
λῇ τοῦ ·σ· ποιεῖ τὴν κλητικήν· οἷον
παῖς ὦ παῖ· βοῦς ὦ βοῦ· μάντις ὦ μάν-
τι· πούς δὲ ὦ πούς ποιεῖ.
τὰ εἰς ·ω· καὶ εἰς ως θηλυκά ὧν ἡ γενι-
κὴ διὰ τοῦ οος κατὰ συναίρεσιν εἰς ους
περατοῦνται εἰς οι ποιεῖ τὴν κλητικήν·
οἷον σαπφὼ σαπφόος καὶ σαπφοῦς
ὦ σαπφοῖ.
τὰ γε μὴν παρὰ ταῦτα εἰς ης διὰ τοῦ
η· ἢ εἰς ως διὰ τοῦ ·ω· μεγάλου διὰ
τοῦ ·τος· ἢ διὰ καθαροῦ τοῦ ·ος· καὶ
τὰ εἰς διπλοῦν· ἢ εἰς ἀμετάβολον·
ἢ εἰς δύο σύμφωνα λήγοντα· καὶ ἁ-
πλῶς πάντα τὰ παρὰ τὰ εἰρημένα
πέντε τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητι-
κήν· ἄνερ μέντοι· καὶ πάτερ· καὶ σῶτερ
καὶ δάερ λέγεται.

Περὶ τῶν πληθυντικῶν δοτικῶν.

Σημείωσαι, περὶ τῶν δοτικῶν, τῶν πληθυντικῶν τῆς πέμπτης κλίσεως ὅτι πᾶσα δοτικὴ ἑνικῶν, εἰς ·ι· ἐκφωνούμενον λήγουσα ὡς ἐπὶ τῆς περιττοσυλλάβου κλίσεως ἔχει πρὸ τοῦ ·ι· δεχομένη τὸ ·σ· ποιεῖ τὴν δοτικὴν τῶν· πληθυντικῶν οἷον πίτυϊ· πίτυσι· ἁλὶ ἁλσί· παραιτησαμένη τε τὰ μὴ δυνάμενα σὺν αὐτῇ, ἀκουσθῆναι στοιχεῖα· δηλονότι τὸ ·δ· καὶ ·ν· καὶ τὸ ·τ· οἷον, αἴαντι αἴασι· γιάδι γιάσι· γέλωτι· γέλωσι· εἰ δὲ οὐ σύμφωνον ἔχει πρὸ τοῦ ·ϊ· καὶ τὸ ·υ· πρὸ τοῦ ·σ· προσλαβοῦσα εἰ καὶ ἡ εὐθεῖα τοῦτ' ἔχει ἐν διφθόγγῳ οἷον, βοῒ βουσὶ πλεῖ πλευσὶ καὶ αὐξήσασα τὴν παραλήγουσαν ἐκτάσει διχρόνου· ἢ προσθήκῃ φωνήεντος· οἰκείως ἔχοντος· προστεθῆναι δὲ περιειρημένων· τῶν μὴ δυναμένων, σὺν αὐτῇ ἀκοῦ

σθῆναι στοιχείων βραχυτέρα καὶ παραλή
γουσα, αὐτῆς καταλείποι τὸ τῆς πα
ραληγούσης τῶν ἄλλων πτώσεων οἷον,
λέγοντι. λέγουσι θεράποντι θεράπουσι
Τὰ μὴν εἰς ξ. ἢ εἰς ψ. λήγοντα ὀνόμα
τα προσθέσει τοῦ ι. ἐν τῇ εὐθείᾳ, ποιεῖ
τὴν δοτικὴν, τῶν πληθυντικῶν οἷον
κήρηξ, κήρυξι. κύκλωψ κύκλωψι.
Αἱ μὲν οὖν, αἱρηθεῖσαι κλίσεις πέντε
ἁπλαῖ εἰσὶ καὶ ἀσυναίρετοι. εἰσὶ δὲ,
ἕτεραι πέντε. ἀπὸ τῆς πέμπτης καὶ
περιττοσυλλάβου κλίσεως τῶν ἀσυναι
ρέτων κατὰ συναίρεσιν καὶ κρᾶσιν γι
νόμεναι καί τινας δὲ βραχείας διαφο
ρὰς ἀπὸ τῆς κοινῆς ταύτης κλίσεως
κατ᾽ ἴωνας καὶ ἀττικοὺς ἐμφαίνουσαι
αἳ δὴ καλείσθωσαν συνῃρημέναι. ὥστε λε
γέσθω ὅτι αἱ κλίσεις τῶν ὀνομάτων εἰσὶ
δέκα. πέντε μὲν, ἁπλαῖ καὶ ἀσυναί

Πρώτη τῶν συνῃρημένων.

ρετοι πέντε δὲ συνῃρημέναι.

Ἔστι τοίνυν, συναίρεσις δύο φωνηέντων συναλοιφὴ καὶ ἀμφοτέρων φυλασσομένων οἷον, δημοσθένεϊ δημοσθένει.

Κρᾶσις δὲ δύο φωνηέντων συναλοιφὴ καὶ ἀμφοτέρων ἀλλοιουμένων. οἷον, δημοσθένεα, δημοσθένη ἢ τοῦ ἑνὸς οἷον δημοσθένεος δημοσθένους ὁμῶς θάτερον, ἀντὶ θατέρου λαμβάνεται.

Πρώτη κλίσις τῶν συνῃρημένων, ἐστὶν ἐν ταῖς ἀρσενικοῖς καὶ θηλυκοῖς καὶ οὐδετέροις δηλονότι τῶν εἰς ης διὰ τοῦ .η. ληγόντων ἀρσενικῶν καὶ θηλυκῶν ὀνομάτων καὶ τῶν εἰς. ες. καὶ εἰς. ος. ληγόντων οὐδετέρων ὧν ἡ γενικὴ διὰ τοῦ εος περιττοσυλλάβως οὖσα εἰς. ους. ἰσοσυλλάβως ποιεῖ τὸ συνῃρημένον.

45

Ὁ δημοσθένης τοῦ δημοσθένεος καὶ δημοσθένους τῷ δημοσθένεϊ καὶ δημοσθένει τὸν δημοσθένεα καὶ δημοσθένη ὦ

Δημόσθενες καὶ ὦ Δημόσθενης τῷ Δη
μοσθένεε καὶ Δημοσθένη τοῖν δημοσθε
νέοιν καὶ δημοσθενοῖν ὦ δημοσθένεε καὶ
ὦ Δημοσθένη · οἱ Δημοσθένεες · καὶ Δη
μοσθένεις · τῶν Δημοσθενέων καὶ Δημο
σθενῶν τοῖς δημοσθένεσι τοὺς δημοσθέ
νεας καὶ δημοσθένεις ὦ δημοσθένεες καὶ
ὦ Δημοσθένεις ·

2 Ἡ ἀληθὴς τῆς ἀληθέος καὶ ἀληθοῦς τῇ ἀ
ληθέϊ καὶ ἀληθεῖ τὴν ἀληθέα καὶ ἀληθῆ ὦ
ἀληθὲς καὶ ὦ ἀληθὴς · τὰ ἀληθέε καὶ ἀλη
θῆ · ταῖν ἀληθέοιν καὶ ἀληθῶν · ὦ ἀληθέε
καὶ ὦ ἀληθῆ · αἱ ἀληθέες καὶ ἀληθεῖς τῶν
ἀληθέων καὶ ἀληθῶν ταῖς ἀληθέσι · τὰς
ἀληθέας καὶ ἀληθεῖς · ὦ ἀληθέες καὶ ὦ ἀ
ληθεῖς ·

3 Τὸ τεῖχος · τοῦ τείχεος καὶ τείχους
τῷ τείχεϊ · καὶ τείχει · τὸ τεῖχος · ὦ
τεῖχος · τὼ τείχεε · καὶ τείχη τοῖν τει
χέοιν καὶ τειχοῖν · ὦ τείχεε καὶ ὦ τείχη

τὰ τείχεα καὶ τείχη· τῶν τειχέων καὶ
τειχῶν· τοῖς τείχεσι· τὰ τείχεα καὶ
τείχη· ὦ τείχεα καὶ ὦ τείχη·

·ες·

Τὸ ἀληθές· τοῦ ἀληθέος καὶ ἀληθοῦς·
τῷ ἀληθέϊ καὶ ἀληθεῖ· τὸ· ἀληθές· ὦ ἀ
ληθές· τὼ ἀληθέε καὶ ἀληθῆ· τοῖν ἀληθέ
οιν καὶ ἀληθοῖν· ὦ ἀληθέε καὶ· ὦ ἀληθῆ
τὰ ἀληθέα καὶ ἀληθῆ· τῶν ἀληθέων καὶ
ἀληθῶν τοῖς ἀληθέσι τὰ ἀληθέα καὶ ἀ
ληθῆ· ὦ ἀληθέα καὶ ὦ ἀληθῆ·

Σημείωσαι ὅτι τὸ· ε· καὶ τὸ· ο· καὶ ἀ
νάπαλιν τὸ· ο· καὶ τὸ· ε· εἰς τὴν· ου·
δίφθογγον κιρνᾶται· Τὸ ε καὶ ϊ εἰς τὴν ει·
δίφθογγον τὸ· ε· καὶ τὸ· α· ἐπὶ μὲν
τῆς αἰτιατικῆς τῶν ἑνικῶν, εἰς· η· ἐπὶ
δὲ τῆς αἰτιατικῆς τῶν πληθυντικῶν
εἰς τὴν· ει· δίφθογγον· ἐπὶ τῶν οὐδετέ
ρων δὲ εἰς· η· τὰ δύο· εε· ἐπὶ μὲν τῆς
εὐθείας, καὶ αἰτιατικῆς τῶν δυϊκῶν, εἰς

·η· ἐπὶ δὲ τῆς εὐθείας καὶ κλητικῆς
τῶν πληθυντικῶν εἰς τὴν ·α· δίφθογγον
τὸ ·ε· καὶ ·οι· δίφθογγος εἰς τὴν ·οι·
δίφθογγον τὸ ·ε· καὶ τὸ ·ω· μέγα εἰς
·ω· μέγα·

Δευτέρα κλίσις τῶν συγκριμένων, ἐστὶν ἐν
τοῖς ἀρσενικοῖς καὶ θηλυκοῖς καὶ οὐδε
τέροις· δηλονότι τῶν εἰς ·ις· διὰ τοῦ
·ϊ· ληγόντων ἀρσενικῶν καὶ θηλυκῶν·
καὶ τῶν εἰς ·ι· ληγόντων οὐδετέρων·
ὧν ἡ κοινὴ γενικὴ διὰ, καθαροῦ τοῦ ιος·
περιττοσυλλάβως οὖσα ἰωνικά τε ποι
εῖ καὶ ἀττικά· καὶ ἐφ᾽ ὧν δύναται πτώ
σεων συναιρεῖται·

Ὁ ὄφις τοῦ ὄφιος· κοινῶς καὶ ὄφεος ἰωνι
κῶς καὶ ὄφεως ἀττικῶς· τῷ ὄφιϊ καὶ ὄ
φι καὶ ὄφει καὶ ὄφῃ· τὸν ὄφιν μόνως ὦ
ὄφι καὶ ὦ ὄφις τὼ ὄφιε καὶ ὄφεε τοῖν ὀ
φίοιν καὶ ὀφέοιν καὶ ὄφιων· ὦ ὄφιε καὶ

15

ὦ ὄφεε. οἱ ὄφιες καὶ ὄφις καὶ ὄφεες καὶ
ὄφεις. τῶν ὀφίων καὶ ὀφέων καὶ ὄφεων.
τοῖς ὄφισι καὶ ὄφεσι. τοὺς ὄφιας καὶ
ὄφις καὶ ὄφεας καὶ ὄφεις. ὦ ὄφιες καὶ ὦ
ὄφις καὶ ὄφεες καὶ ὦ ὄφεις.

2 Ἡ πόλις τῆς πόλιος κοινῶς. καὶ πόλε
ος ἰωνικῶς καὶ πόλεως ἀττικῶς τῇ πό
λιι καὶ πόλι καὶ πόλεϊ καὶ πόλει τὼ
πόλῑν μόνως ὦ πόλι καὶ πόλις. τὰ
πόλιε καὶ πόλεε ταῖν πολίοιν καὶ πο
λέοιν καὶ πόλεων ὦ πόλιε καὶ πόλεε
αἱ πόλιες καὶ πόλις καὶ πόλεες καὶ
πόλεις. τῶν πολίων καὶ πολέων καὶ πό
λεων ταῖς πόλισι. καὶ πόλεσι τὰς πό
λιας καὶ πόλις καὶ πόλεας καὶ πό-
λεις ὦ πόλιες καὶ πόλις καὶ πόλεες
καὶ πόλεις.

1 Τὸ σίνηπι τοῦ σινήπιος κοινῶς καὶ σι
νήπεος ἰωνικῶς καὶ σινήπεως ἀττικῶς

τῷ σϊνήπιι καὶ σινήπῑ καὶ σϊνήπει καὶ
σϊνήπεϊ. τὸ σίνηπι. ὦ σίνηπι. τὼ σινήπιε
καὶ σϊνήπεε. τοῖν σϊνηπίοιν καὶ σινηπέ
οιν. καὶ σϊνήπεων. ὦ σϊνήπιε καὶ σινήπε
ε. τὰ σϊνήπια. καὶ σινήπῑ καὶ σινήπε
α καὶ σϊνήπη. τῶν σινηπίων καὶ σινη-
πέων καὶ σινήπεων τοῖς σινήπισι. καὶ
σινήπεσι τὰ σινήπια καὶ σινήπι. καὶ
σινήπεα, καὶ σινήπη ὦ σινήπια καὶ σι
νήπῑ καὶ σινήπεα καὶ σινήπη.

Σημείωσαι. ὅτι τὰ ἐπιδεχόμενα ἀττι
κὰ συναίρεσιν οὐκ ἐπιδέχονται. οὔτε
ἐν ταῖς γενικαῖς τῶν ἑνικῶν οὔτε ἐν ταῖς
γενικαῖς τῶν πληθυντικῶν οὔτε ἐν τοῖς
δυϊκοῖς ὅλως καὶ ἀνάπαλιν.

τὰ δύο. ιι. ὡς. ι. μακρὸν κιρνᾶται
τὸ. ι. καὶ. ε. ὡς. ι. μακρὸν τὸ. ι. καὶ
. α. ὡς. ι. μακρόν.

Τρίτη κλίσις.

Τρίτη κλίσις ἐστὶν, ἐν τοῖς ἀρσενικοῖς δηλονότι τῶν εἰς · ευς · ληγόντων, ἀρσενικῶν ὀνομάτων ἃ κοινῶς διὰ τοῦ · εος · κλινόμενα ἰωνικά τε ποιεῖ καὶ ἀττικὰ καὶ ἐφ' ὧν δύναται, πτώσεων εἰς ἰσοσυλλαβίαν, συναιρεῖται ·

· ευς ·

Ὁ βασιλεὺς τοῦ βασιλέος κοινῶς καὶ βασιλῆος ἰωνικῶς καὶ βασιλέως ἀττικῶς τῷ βασιλέϊ, καὶ βασιλεῖ καὶ βασιλῆϊ τὸν βασιλέα καὶ βασιλῆα · ὦ βασιλεῦ καὶ βασιλεύς τὼ βασιλέε καὶ βασιλῆε τοῖν βασιλέοιν καὶ βασιλήοιν ὦ βασιλέε καὶ βασιλῆε οἱ βασιλέες καὶ βασιλεῖς καὶ βασιλῆες τῶν βασιλέων καὶ βασιλήων · τοῖς βασιλεῦσι τοὺς βασιλέας καὶ βοιλεῖς καὶ βασιλῆας · ὦ βασιλέες καὶ βασιλῆς καὶ βασιλῆες ·

Σημείωσαι · ὅτι ταύτης τῆς κλίσεως τῶν συνῃρημένων κλίσεων · ὅτι τῶν εἰς ω

λῃγόντων ἡ ἀττικὴ συναίρεσιν οὐκ ἐπιδέχεται·

Τετάρτη κλίσις·

Τετάρτη κλίσις τῶν συνῃρημένων ἐστὶν ἐν τοῖς θηλυκοῖς δηλονότι τῶν εἰς ·ω· ἢ εἰς ·ως· διὰ τοῦ ·ω· μεγάλου λῃγόντων θηλυκῶν ὀξυτόνων ὧν ἡ γενικὴ διὰ τοῦ ·οος· περιττοσύλλαβος οὖσα εἰς ·ους· ἰσοσυλλάβως ποιεῖ τὸ συνῃρημένον·

Ἡ λητὼ τῆς λητόος καὶ λητοῦς τῇ λητόϊ καὶ λητοῖ τὴν λητόα καὶ λητὼ· ὦ λητοῖ· τὰ λητὼ ταῖν λητοῖν· ὦ λητὼ αἱ λητοὶ τῶν λητῶν ταῖς λητοῖς· τὰς λητούς· ὦ λητοί· ·ω·

Ἡ αἰδὼς τῆς αἰδόος καὶ αἰδοῦς· τῇ αἰδόϊ καὶ αἰδοῖ τὴν αἰδόα καὶ αἰδὼ ὦ αἰδοῖ· τὰ αἰδὼ ταῖν αἰδοῖν ὦ αἰδώ· αἱ αἰδοὶ τῶν αἰδῶν ταῖς αἰδοῖς τὰς αἰδοὺς ὦ αἰδοί· ·ως·

Σημείωσε ὅτι ἡ τετάρτη κλίσις τῶν συνηρημένων ἐπὶ τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν ἀσυναίρετος οὖσα καθόλου ἐν τούτοις, ὁμοία ἐστὶ τῇ τετάρτῃ κλίσει, τῶν ἀσυναιρέτων.

Τὰ διὰ τοῦ .οο. εἰς τὴν .ου. δίφθογγον, κιρνᾶται τὸ .ο. καὶ .ι. εἰς τὴν .οι. δίφθογγον τὸ .ο. καὶ .α. ἐπὶ μὲν τῆς αἰτιατικῆς τῶν ἑνικῶν εἰς .ω. μέγα ἐπὶ δὲ τῆς αἰτιατικῆς τῶν πληθυντικῶν, δηλονότι τῶν ἄλλων ὀνομάτων εἰς .ου. δίφθογγον οἷον βόας, βοῦς.

Πέμπτη κλίσις.

Πέμπτη κλίσις, τῶν συνηρημένων ἐστὶν ἐν τοῖς οὐδετέροις δηλονότι τῶν εἰς .ας. καθαρὸν, ἢ εἰς .ρας. ληγόντων ὧν ἡ γενικὴ κοινῶς διὰ τοῦ .ατος. καὶ ἰωνικῶς διὰ τοῦ .αος. περιττοσύλλαβος οὖσα εἰς .ως. ἰσοσυλλάβως ποιεῖ, τὸ συνηρημένον.

Τὸ κρέας τοῦ κρέατος κοινῶς καὶ κρέ
αος ἰωνικῶς καὶ κρέως ἀττικῶς τῷ κρέα
τι καὶ κρέαϊ καὶ κρέα τὸ κρέας ὦ κρέ
ας. τὼ κρέατε καὶ κρέαε καὶ κρέα τοῖν
κρεάτοιν καὶ κρεάοιν καὶ κρῶν ὦ κρέα
τε καὶ κρέαε καὶ κρέα. τὰ κρέατα καὶ
κρέαα καὶ κρέα τῶν κρεάτων καὶ κρε-
άων καὶ κρεῶν τοῖς κρέασι τὰ κρέατα
καὶ κρέαα καὶ κρέα ὦ κρέατα καὶ κρέ
αα καὶ κρέα. ας.

Τὸ κέρας τοῦ κέρατος καὶ κέραος καὶ γας.
κέρως τῷ κέρατι καὶ κέραϊ καὶ κέρα τὸ
κέρας καὶ τὰ ἑξῆς ὁμοίως.

Τὸ. ο. καὶ τὸ. α. εἰς. ω. κιρνᾶται τὸ
. α. καὶ τὸ. ι. εἰς. α. μακρὸν τὸ. α.
καὶ τὸ. ε. εἰς. α. μακρὸν τὸ. α. καὶ.
. οι. δίφθογγος εἰς. ω. καὶ τὸ. ι. προσ
γράφεται τὰ δύο. αα. εἰς. α. μακρὸν
τὸ. α. καὶ τὸ. ω. εἰς. ω. μέγα.

Σημείωσαι ὅτι καὶ ἄλλα ὀνόματα ἐπί τινων πτώσεων, συναιρεῖται. Διὸ ἰστέον ὅτι τὸ · υ · καὶ τὸ · ε · εἰς · υ · κιρνᾶται, οἷον βότρυες · βότρυς τὸ · υ · καὶ · α · εἰς · υ · οἷον, βότρυας βότρυς τὸ · ο · καὶ · ε · εἰς · ου · οἷον βόες καὶ βοῦς τὸ · ο · καὶ · α · εἰς · ου · οἷον βόας βοῦς βόα βοῦν ·

Ἰστέον ὅτι ἐπὶ τοῖς πληθυντικοῖς πᾶσιν ἡ συναίρεσις γίνεται εἰ καθαριεύουσι τὰ τελικὰ φωνήεντα πλὴν τῆς γενικῆς αὐτη γὰρ τῇ γενικῇ τῶν ἑνικῶν ἀκολουθεῖ οἷον πήχεως πήχεων ·

Καὶ ἐπὶ τῆς τετάρτης κλίσεως τὰ καθαρὸν ἔχοντα τὸ · ος · ἐν πάσαις ταῖς πτώσεσι συναιροῦνται · οἷον Ο νόος · οῦς · νόου · οῦ νόῳ · ῷ · νόον οῦν νόε · οῦ νόω · ὼ · νόοιν · οῖν νόω ὼ νόοι οἳ νόων ὧν νόοις νοῖς νόους νοῦς νόοι νοῖ ·

Καθαρὸν δ' ἐστὶ · τὸ μὴ ἔχον ὅ τι ἂν

σύμφωνον.
τὰ βραχέα φωνήεντα τὸ. ε. καὶ τὸ ο
πρὸ μακροῦ γράμματος ἢ διφθόγγου
συναιρούμενα εἰς αὐτὸ μακρὸν ἐπαγό
μενον συναιρεῖται.
Ετι πᾶν δίχρονον πρὸ μακροῦ μὲν
γράμματος ἢ διφθόγγου εἰς αὐτὸ τὸ
μακρὸν συναιρεῖται. πρὸ οὗτινος οὖν
δὲ ὄντος εἰς ἑαυτό.
Μακροῦ φωνήεντος προηγουμένου ὅπου
ον ἂν ᾖ, τὸ ἐπιφερόμενον οὐδέποτε συ
ναίρεσις γίνεται. γίγνεται δὲ ἢ ἐκ δύο
βραχέων ἢ ἐκ βραχέος καὶ μακροῦ.
ἀεὶ δὲ εἰς μακρὸν γίνεται δὲ οὕτως.

Περὶ ῥήματος.

Τί ἐστι ῥῆμα. μέρος λόγου ἄπτωτον. ἐ
νέργειαν ἢ πάθος σημαῖνον.
Πόσαι καταλήξεις τῶν ῥημάτων. τέσ

εἰς · ω · βαρύτονον οἷον τύπτω· εἰς · ω · περισπώμενον, οἷον, γελῶ· εἰς μι· οἷον, τίθημι·
Πόσα παρέπεται τῷ ῥήματι· ὀκτὼ· εἴδη σχήματα ἀριθμοὶ ἐγκλίσεις διαθέσεις πρόσωπα χρόνοι καὶ συζυγίαι.
πόσαι ἐγκλίσεις πέντε ὁριστικὴ προστακτικὴ εὐκτικὴ ὑποτακτικὴ καὶ ἀπαρέμφατος.
Πόσαι διαθέσεις τρεῖς ἐνέργεια · πάθος · μεσότης.
Πόσα πρόσωπα τρία πρῶτον · δεύτερον καὶ τρίτον. πόσοι χρόνοι · ἕξ · ἐνεστὼς παρατατικὸς παρακείμενος ὑπερσυντέλικος ἀόριστος καὶ μέλλων.
Πόσαι συζυγίαι δεκατρεῖς ἓξ τῶν βαρυτόνων · τρεῖς τῶν περισπωμένων · τέσσαρες τῶν εἰς μι.
Η πρώτη συζυγία τῶν βαρυτόνων διὰ τίνος ἐκφέρεται διὰ τοῦ · β · ἢ · π · ἢ ·

ἢ φ ἢ πτ· καὶ ἐπὶ τοῦ μέλλοντος τὸ· ψ
ἔχει οἷον λείβω· λείψω τέρπω· τέρψω·
γράφω γράψω· κόπτω· κόψω·
Ἡ δευτέρα διὰ τίνος ἐκφέρεται διὰ
τοῦ· γ· ἢ κ ἢ χ ἢ κτ καὶ ἐπὶ τοῦ
μέλλοντος τὸ ξ ἔχει οἷον· λέγω λέξω·
πλέκω πλέξω βρέχω βρέξω τίκτω τέξω·
Ἡ τρίτη διὰ τοῦ δ ἢ θ ἢ· τ καὶ ἐπὶ
τοῦ μέλλοντος τὸ σ ἔχει οἷον ᾄδω ᾄσω
πλήθω· πλήσω ἀνύτω ἀνύσω·
Ἡ τετάρτη· διὰ τοῦ· ζ· καὶ δύο· σσ·
καὶ ττ καὶ ἐπὶ τοῦ μέλλοντος τὸ· σ ἢ τὸ
ξ ἔχει οἷον νομίζω νομίσω πλάσσω πλά
σω ὀρύσσω ὀρύξω·
Ἡ πέμπτη, διὰ τῶν τεσσάρων, ἀμετα
βόλων· λ· μ· ν· ρ· καὶ ἐπὶ τοῦ μέλλον
τος αὐτὸ, τὸ ἀμετάβολον ἔχει οἷον ψάλ
λω ψαλῶ νέμω νεμῶ κρίνω κρινῶ αἴρω·
ἀρῶ καὶ ἐπὶ τοῦ μέλλοντος τὴν παρα

λήγουσαν ἀεὶ βραχεῖαν ἔχει καὶ ἡ λήγου
σα περισπᾶται.

Ἡ ἕκτη, διὰ καθαροῦ τοῦ . ω . καὶ ἐπὶ
μέλλοντος τὸ . σ . ἔχει οἷον ἱππεύω ἱπ
πεύσω πλέω, πλεύσω ἀκούω ἀκούσω
ὥστε ἀνάγκη τὸν μέλλοντα ἀεὶ ἢ . ξ .
ἢ . ψ . ἢ . σ ἢ ἀμετάβολον ἐπὶ τῆς ληγού
σης ἔχειν.

Ὁ παρατατικὸς τὸ τοῦ ἐνεστῶτος σύμ
φωνον ἐπὶ τῆς ληγούσης ἔχει. ὁ δὲ ἀόρι
στος τὸ σύμφωνον τοῦ μέλλοντος.

Ὁ δὲ παρακείμενος, εἰ μὲν ὁ μέλλων διὰ
τοῦ . ψ . αὐτὸς διὰ τοῦ . φ . εἰ δὲ ὁ
μέλλων διὰ τοῦ . ξ . αὐτὸς διὰ τοῦ . χ .
εἰ δὲ ὁ μέλλων διὰ τοῦ . σ . ἢ ἀμεταβό
λου αὐτὸς διὰ τοῦ . κ .

Ὁ ὑπερσυντέλικος τὸ τοῦ παρακειμέ
νου σύμφωνον ἔχει. Ὁ δεύτερος
ἀόριστος καὶ δεύτερος μέλλων, ἔτι δὲ

ὁ μέσος παρακείμενος καὶ ὁ μέσος ὑ-
περσυντέλικος τὸ τοῦ ἐνεστῶτος σύμ-
φωνον ἔχουσι. ἂν δὲ δύο ἢ τὰ τοῦ ἐνε-
στῶτος σύμφωνα τὸ πρῶτον ἔχουσι.
πλὴν ἐφ' ὧν ὁ ἐνεστὼς δύο. σσ. ἢ δύο ττ
ἔχει· τότε γὰρ τὸ. σ. ἔχουσι. Εἰ
μὲν ἀπὸ βραχέος φωνήεντος ἄρχεται τὸ
θέμα. α. ἢ. ε. ἢ. ο. ὁ παρατατικὸς
χρονικῶς αὔξεται καὶ τὸ μὲν. α. εἰς. η.
τρέπεται οἷον ἀκούω ἤκουον τὸ δὲ. ο.
μικρὸν, εἰς. ω. μέγα οἷον ὀμνύω, ὤμνυον
ἐν τισὶ καὶ τὸ. ε. προσλαμβάνεται οἷ-
ον, ὁρῶ ἑώρων τὸ δὲ. ε. εἰς. η. οἷον ἔρχο-
μαι ἠρχόμην πλὴν δεκατεσσάρων τι-
νῶν ἐν οἷς τὸ ι προσδεχόμενα εἰ. δίφθογ-
γον, ποιοῦσι οἷον ἔχω εἶχον ἕπω εἷπον ἕ-
λω ἕλκω ἕρπω ἐῶ ἑρπύζω ἕπομαι ἐρ-
γάζομαι ἐθίζω ἑστιῶ ἐρύω ἑλκύω ἕω ἑστήκω
τὸ δὲ. ι. καὶ τὸ υ καὶ τὰ μακρὰ τότε

ἡ καὶ τοῦτο ἀμετάβλητα μένει οἷον ἰξεύω
ἴξευον· ὑβρίζω, ὕβριζον· ἠχῶ ἤχουν· ὠφε-
λῶ ὠφέλουν· ἡ δὲ ει καὶ ευ δίφθογγος ἀ-
μετάβληταί εἰσιν· ἡ οι δίφθογγος τὸ
μὲν ο εἰς ω μέγα τρέπει τὸ δὲ ι προσ-
γράφεται· ἡ αι δίφθογγος τὸ α εἰς η τρέ-
πει τὸ δὲ ι προσγράφεται.

Εἰ δὲ ἀπὸ συμφώνου ἄρχεται τὸ θέμα
ὁ παρατατικὸς συλλαβικῶς αὔξεται
τὸ ε κατ' ἀρχὰς προσλαμβάνων οἷον
τύπτω ἔτυπτον· καὶ ἐὰν ἀπὸ ρ ἄρχη-
ται ἕτερον ρ προσλαμβάνει οἷον ῥάπ-
τω ἔρραπτον. Ὁ ἀόριστος, τὴν αὐτὴν
ἀρχουσαν τῷ παρατατικῷ ἔχει.

Ὁ παρακείμενος εἰ μὲν ἀπὸ μακρᾶς
ἄρχεται ὁ παρατατικὸς ἢ φύσει ἢ θέ-
σει ἀπὸ τῆς αὐτῆς ἄρχεται· εἰ δὲ ἀπὸ
βραχείας ἢ κοινῆς ἄρχεται ὁ παρατα-
τικὸς ἀναδιπλασιάζεται ὁ παρακεί-

μενος τὰ μέντοι ἀπὸ τοῦ ρ ἀρχόμενα
θέματα τοῖς ἰδίοις παρατατικοῖς
συνάρχεται οἷον ῥάπτω ἔρραφα ῥαπί
ζω, ἐρράπικα.
Ὁ ὑπερσυντέλικος δὲ ἀπὸ συμφώνου
ἄρχεται ὁ παρακείμενος προσλαμβά
νει κατὰ τὴν ἀρχὴν τὸ ε· εἰ δὲ ἀπὸ φω
νήεντος ἄρχεται ὁ παρακείμενος, ἀπὸ
τοῦ αὐτοῦ ἄρχεται καὶ ὁ ὑπερσυντέλι
κος. Ὁ μέλλων τὴν αὐτὴν ἀρχοῦ
σαν ἣν καὶ ὁ ἐνεστὼς ἔχει πλὴν τῶν ῥημά
των τῆς πέμπτης συζυγίας ἐν οἷς ἡ πα
ραλήγουσα βραχεῖα θέλει εἶναι καὶ τοῦ
ἔχω ἕξω, τρέχω θρέξω, τρέφω θρέψω, ἃ τὰς
δασείας ἐν τοῖς μέλλουσιν ἔχουσιν.
Ὁ μέσος παρακείμενος, τὴν αὐτὴν ἄρ
χουσαν τῷ παρακειμένῳ ἔχει πλὴν εἰ
ἐν δισυλλάβῳ μέλλοντι τὸ ·ε· μόνον ἢ
μετὰ τοῦ ·ι· εὑρεθῇ τότε γὰρ αὐτὸ εἰς

·ο· γίνεται ὁ μέσος παρακείμενος· οἷον
λείπω λέλοιπα. Ὁ δεύτερος ἀορί-
στος τὴν αὐτὴν ἄρχουσαν τῷ πρώτῳ ἀορί-
στῳ ἔχει πλὴν ὅτι ἀεὶ τὴν παραλήγου-
σαν βραχεῖαν θέλει ἔχειν· οἷον λείπω ἔλι-
πον. Ὁ δεύτερος μέλλων τὴν αὐτὴν ἄρ-
χουσαν τῷ πρώτῳ μέλλοντι ἔχει· πολ-
λάκις δὲ καὶ τῷ δευτέρῳ ἀορίστῳ· ἐν
ταῖς ἄλλαις ἐγκλίσεσιν αἱ αὐξήσεις τῶν
παρεληλυθότων ἀποβάλλονται· πλὴν
τοῦ παρακειμένου. Τὰ παθη-
τικὰ καὶ μέσα τὴν αὐτὴν ἄρχουσαν
τοῖς ἐνεργητικοῖς ἔχει· δηλονότι ὁ ὁρι-
στικὸς παθητικὸς ἀόριστος τῷ ὁριστικῷ
ἐνεργητικῷ πρώτῳ· καὶ ὁ προστακτι-
κὸς τῷ προστακτικῷ καὶ ἐπὶ τῶν ἄλ-
λων χρόνων καὶ ἐγκλίσεων ὁμοίως· ἐν
τοῖς ῥήμασιν ἡ μὲν ἐστὶ κλίσις χρονικὴ
καθ' ἣν ὁ σχηματισμὸς τῶν χρόνων ἐν

τοῖς ὁριστικοῖς φαίνεται. ἡ δὲ κλίσις
προσωπική καθ' ἣν ὁ σχηματισμὸς
τῶν προσώπων καὶ ἀριθμῶν ἁπλῶς.
ἐν πᾶσι φαίνεται. λέγοιτο δ' ἂν καὶ κλί
σις τὶς ἐγκλιτική. καθ' ἣν ὁ σχηματισ
μὸς ἑκάστου χρόνου κατὰ τὰς διαφό
ρους ἐγκλίσεις φαίνοιτο. καὶ κλίσις
διαθέσεων καθ' ἣν τὰ αὐτὰ ὑποκρινό-
μενα ἀλλήλοις ἐνεργητικὰ καὶ παθητι
κὰ ἐν πάσαις ταῖς ἐγκλίσεσιν ἐφ' ἑκά
στου χρόνου δείκνυται.
Κλίσις χρονικὴ ἐν τοῖς ὁριστικοῖς ἐνεργη
τικοῖς τὰ πάσας τὰς βαρυτόνους
συζυγίας πρώτη.

ΕΝΕΣΤΩΣ.

Τύπτω. παρατατικὸς ἔτυπτον. μέλ
λων τύψω. ὁ ἀόριστος ἔτυψα μέλλων. β
Τυπῶ. ἀόρι. β. ἔτυπον. π. τέτυφα. ὑ

περσυντέλικος ἐτετύφειν μέσος παρακεί
μενος τέτυπα μέσος ὑπερσυντέλικος
ἐτετύπειν. Συζυγία δευτέρα
ἐνεστῶς. λέγω παρατατικὸς. ἔλεγον
μέλλων λέξω ἀόριστος ἔλεξα μέλλων
δεύτερος λεγῶ ἀόριστος δεύτερος ἔλεγον
παρακείμενος λέλεχα ὑπερσυντέλι
κος ἐλελέχειν μέσος παρακείμενος λέ
λεγα μέσος ὑπερσυντέλικος ἐλελέγειν.

Συζυγία τρίτη ἐνεστῶς.

Πλήθω παρατατικὸς ἔπληθον μέλλων
πλήσω ἀόριστος ἔπλησα. μέλλων δεύ
τερος πλαθῶ ἀόριστος δεύτερος ἔπλα
θον. παρακείμενος πέπληκα. ὑπερ-
συντέλικος ἐπεπλήκειν. μέσος παρα
κείμενος πέπληθα. μέσος ὑπερσυντέ
λικος ἐπεπλήθειν.

Συζυγία, τετάρτη. ἐνεστῶς.

Φράζω. παρατατικὸς ἔφραζον. μέλ

λων φράσω ἀόριστος ἔφρασα · μέλλων β · φραδῶ · ἀόριστος δ' ἄτερος ἔφραδον παρακείμενος πέφρακα · ὑπερσυντέλικος ἐπεφράκειν · μέσος παρακείμενος πέφραδα · μέσος ὑπερσυντέλικος ἐπεφράδειν ·

Τῆς αὐτῆς ἐνεστώς ·

Ορύσσω · παρατατικὸς ὤρυσσον · μέλλων ὀρύξω · ἀόριστος ὤρυξα μέλλων δ' ἄτερος ὀρυγῶ · ἀόριστος δ' ἄτερος ὤρυγον παρακείμενος ὤρυχα ὑπερσυντέλικος ὠρύχειν · μέσος παρακείμενος ὤρυγα · μέσος ὑπερσυντέλικος ὠρύγειν ·

Συζυγία πέμπτη · Ἐνεστώς ·

Ψάλλω · παρατατικὸς ἔψαλλον μέλλων ψαλῶ · ἀόριστος · ἔψηλα · μέλλων δ' ἄτερος ψαλῶ ἀόριστος δ' ἄτερος ἔψαλον · παρακείμενος ἔψαλκα · ὑπερσυντέλικος ἐψάλκειν · μέσος πα

ρακέμενος ἔσταλα· μέσος ὑπερσυντέ
λικος· ἐστάλκειν·

Τῆς αὐτῆς·

Σπείρω· παρατατικὸς ἔσπειρον· μέλ
λων σπερῶ· ἀόριστος ἔσπειρα· μέλλων· β
σπαρῶ ἀόριστος δ' δεύτερος ἔσπαρον· πα
ρακέμενος ἔσπαρκα· ὑπερσυντέλι-
κος ἐσπάρκειν μέσος παρακέμενος ἔσ
πορα· μέσος ὑπερσυντέλικος ἐσπό-
ρειν·

Συζυγία ἕκτη· Ενεστώς·

Ἱππεύω· παρατατικὸς ἵππευον·
μέλλων ἱππεύσω· ἀόριστος ἵππευσα·
μέσος· β· ἱππευῶ ἀόριστος· β· ἵππευ
ον· παρακέμενος ἵππευκα· ὑπερ-
συντέλικος ἱππεύκειν· μέσος παρα
κέμενος· ἵππευα· μέσος ὑπερσυντέ
λικος ἱππεύειν·

Πόσοι χρόνοι ἐν τοῖς ὁριστικοῖς ἐνεργητι

κοῖς ἁπλῶς οἱ πάντες δέκα ἐνεστὼς πα-
ρατατικὸς μέλλων ἀόριστος μέλλων· β·
ἀόριστος· β· παρακείμενος ὑπερσυντέ-
λικος· μέσος παρακείμενος μέσος ὑ-
περσυντέλικος οἵτινες τὸν τρόπον τοῦ-
τον καὶ οὐ κατὰ τὴν φυσικὴν τάξιν ὧδε
ἐτάχθησαν κατὰ τὸ οἰκεῖον τῆς παρα-
γωγῆς ὥστε φαίνεσθαι ἕκαστον αὐτῶν ἐξ οὗ
παράγεται δηλονότι ᾧ συντέτακται
καὶ διὰ τοῦτο δεῖ τούτους κατὰ συ-
ζυγίαν ἀναγινώσκειν·

Σημείωσαι, ὅτι οἱ δεύτεροι μέλλοντες καὶ
δεύτεροι ἀόριστοι ὡσαύτως δὲ οἱ μέσοι
παρακείμενοι καὶ μέσοι ὑπερσυντέλι-
κοι, ἐπὶ τινῶν μὲν εἰσὶν ἐν χρήσει ἐπὶ τι-
νῶν δὲ ἄχρηστοι ἔξεστι δὲ καὶ κατὰ τού-
των· τῶν χρόνων, τοῦτο λέγειν· τοῦτο
μὲν οὖν ἀπὸ τῆς χρήσεως ἐστὶν εἰδέναι
σχηματισμὸς δὲ αὐτῶν ὥστε ὅλος χερῶς

ἀπειμοῦ εἰρημένος. Ὁ τοῦ φράζω
παρακείμενος, διὰ τὴν ἐπαλληλίαν
τῶν δασέων πέφρακα λέγεται τοιοῦ
τον ἐστὶ καὶ τὸ κέχρημαι καὶ τὸ τέθειμαι
καὶ ὅσα ἀπὸ δασέος ἐν τῷ ἐνεστῶτι ἄρ
χεται. Ὁ τοῦ ὀρύσσω παρακείμε
νος καὶ ὀρώρυχα λέγεται προστιθεμέ
νων ἀττικῶς τῶν ἀρχικῶν δύο γραμ
μάτων, τοῦ ἐνεστῶτος, τοῦτο δὲ γίνεται
ἐπὶ τῶν ἀπὸ τοῦ. α. ἢ. ε. ἢ. ο. ἐπὶ τοῦ
ἐνεστῶτος ἀρχομένων ὁμοίως καὶ ὁ ὑπερ
συντέλικος ὠρωρύχειν, λέγεται ἐπὶ τοῦ
του δὲ καὶ τὸ. ο. μεγεθύνουσι.
Ὁ τοῦ ψάλλω ἀόριστος ἔψηλα λέγεται.
ὅτι τὸ. α. τοῦ μέλλοντος τῶν δι' ἀ
μεταβόλου ληγόντων ῥημάτων εἰς. η
τρέπεται ἐν τῷ ἀορίστῳ οἷον. καὶ φαίνω
φανῶ ἔφηνα τὸ δὲ. ε. εἰς. ει. δίφθογγον
τρέπεται ἐν τῷ ἀορίστῳ. οἷον νέμω νεμῶ.

ἔνειμα. σπείρω σπερῶ ἔσπειρα. τὸ δὲ ε
τοῦ μέλλοντος, τῶν εἰρημένων ῥημάτων
εἰς α. τρέπεται ἐν τῷ παρακειμένῳ οἷον
σπείρω σπερῶ ἔσπαρκα. φθείρω φθερῶ ἔφ
θαρκα. στέλλω στελῶ ἔσταλκα.

Κλίσις δὲ προσωπικὴ ἐν τοῖς ἐνεργητι
κοῖς αὕτη.

Πρώτη συζυγία τῶν βαρυτόνων. ὁρι-
στικὰ. ἐνεργητικὰ. ῥήματα. Ἐνεστὼς

Τύπτω.

τύπτεις τύπτει. Δυϊκά. τύπτετον
τύπτετον. Πληθυντικὰ. τύπτομεν.
τύπτετε τύπτουσιν. Παρατατικὸς
ἔτυπτον ἔτυπτες ἔτυπτε ἐτύπτετον
ἐτυπτέτην ἐτύπτομεν ἐτύπτετε ἔτυπτον

Παρακείμενος.

Τέτυφα τέτυφας τέτυφε τετύφα
τον τετύφατον τετύφαμεν τετύφα
τε τετύφασι.

Μέσος παρακείμενος.

τέτυπα, τέτυπας τέτυπε τετύπατον τετύπατον τετύπαμεν τετύπατε τετύπασιν.

Υπερσυντέλικος.

Ετετύφειν ἐτετύφεις ἐτετύφει ἐτετύφειτον ἐτετυφείτην ἐτετύφειμεν ἐτετύφειτε ἐτετύφεισαν.

Μέσος ὑπερσυντέλικος.

Ετετύπειν ἐτετύπεις ἐτετύπει ἐτετύπειτον ἐτετυπείτην. πειμεν. τε. ἐτετύπεισαν.

Αόριστος.

Ἔτυψα ἔτυψας ἔτυψε. ψατον. ἐτυψάτην. ἐτύψαμεν. ψατε. ψαν.

Αόριστος δεύτερος.

Ετυπον. πες. πε. ἐτύπετον. την. ἐτύπομεν. πετε. ἔτυπον.

Μέλλων.

τύψω. ψεις. ψει. τύψετον. τον. τύ
ψομεν. ψετε. ψουσιν.

Μέλλων δεύτερος.

Τυπῶ τυπεῖς τυπεῖ τυπεῖτον. τον
τυποῦμεν τυπεῖτε τυποῦσι.

Προστακτικὰ ἐνεργητικά. ἐνεστῶς

Τύπτε τυπτέτω. πτετον. τυπτέτων.
τύπτετε τυπτέτωσαν.

Παρακείμενος.

τέτυφε τετυφέτω. φετον. τετυφέτων
. φετε. τετυφέτωσαν.

Μέσος παρακείμενος.

τέτυπε τετυπέτω τετύπετον τετυ
πέτων. τε. τετυπέτωσαν.

Ἀόριστος.

τύψον τυψάτω. ψατον. τυψάτων
τύψατε τυψάτωσαν.

Ἀόριστος δεύτερος.

τύπε τυπέτω. πετον. τυπέτων. τε.

τυπέτωσαν.

Εὐκτικὰ ἐνεργητικά.

τύπτοιμι. τοις. τοι. τύπτοιτον τυπτοί
την. τύπτοιμεν. τε. τοιεν.

Παρακείμενος.

τετύφοιμι. φοις. φοι. τον τετυφοί-
την. φοιμεν. φοιτε. τετύφοιεν.

Μέσος παρακείμενος.

τετύποιμι. ποις. ποι. τον. τετυ-
ποίτην. ποιμεν. ποιτε. ποιεν.

Ἀόριστος

τύψαιμι. ψαις. ψαι. τον. ψαίτην
μεν. τε. εν. Οὗτος ὁ ἀόριστος καὶ
αἰολικὸς λέγεται καὶ εὔχρηστος ἐστὶ λέ-
γεται δεόντως.

τύψεια. ας. ε. τυψείατον αίτην. μεν
. τε. αν. Ἀόριστος δ' ἄτερος
τύποιμι. ποις. ποι. ποιτον. ποίτην
ποιμεν. ποιτε. ποιεν.

Μέλλων·

τύψοιμι· ψοις· ψοι· τον· τῶ μεν· τε· εν· Μέλλων δεύτερος·

τυποῖμι τυποῖς τυποῖ τυποῖτον τυποῖτω τυποῖμεν τυποῖτε τυποῖεν·

Υποτακτικὰ ἐνεργητικὰ ἐνεστώς

Ἐὰν τύπτω· ἐὰν· της ἐάν· τη· τητον· τον· ἐὰν τωμεν ἐὰν τητε ἐὰν τωσιν

Παρακείμενος·

Ἐὰν τετύφω· φης· φη· φητον· τον· φωμεν· φητε φῶσι·

Μέσος παρακείμενος·

Ἐὰν τετύπω· πης· πη· πητον· τον πωμεν· πητε· πῶσι·

Ἀόριστος·

Ἐὰν τύψω· ψης· ψη· τον· τον· μεν· τε· σι· Ἀόριστος δεύτερος·

Ἐὰν τύπω· πης· πη· πητον· πητον

πωμεν· πητε πωσι·
μέλλοντες ἐν τοῖς προστακτικοῖς οὐκ
εἰσὶν οὔτε ἐν τοῖς ὑποτακτικοῖς οἱ πα
ρακείμενοι δὲ καὶ οἱ ἀόριστοι, κατὰ τὴν
συμασίαν, μέλλοντες εἰσὶ καλοῦνται
δὲ ἀφ᾽ ὧν παράγονται.

Ἀπαρέμφατα ἐνεργητικὰ ἐνεστὼς.
Τύπτειν παρακείμενος τετυφέναι μέ
σος τετυπέναι. ἀόριστος. τύψαι
δεύτερος τυπεῖν μέλλων τύ-
ψειν. μέλλων δεύτερος τυπεῖν.
Τὰ ἀπαρέμφατα οὔτε πρόσωπα
οὔτε ἀριθμοὺς ἔχει.
Ἐν πᾶσιν ἁπλῶς τοῖς ῥήμασιν. ὅτε
τὸ πρῶτον πρόσωπον τῶν πληθυντι
κῶν τὸ μ ἐπὶ τῆς τελευταίας συλλα
βῆς ἔχει ἀπολείπει τὸ πρῶτον πρόσω
πον τῶν δυϊκῶν.
Ὅτε μὲν εἰς. ϊ ἢ εἰς τε λήγει, τὸ τρίτον

τῶν πληθυντικῶν τότε ὁμοφωνοῦσι·
τὰ δεύτερα καὶ τρίτα τῶν δυικῶν ὅ-
τε δὲ μὴ οὕτως ἔχει διαλλάττουσι·

Μετοχαὶ ἐνεργητικαὶ ἐνεστῶς·

Ὁ τύπτων τοῦ ·πτοντος· Ἡ τύπτου
σα τῆς τυπτούσης τὸ τύπτον τοῦ τύ
πτοντος Παρακείμενος
Ὁ τετυφὼς τοῦ τετυφότος ἡ τετυφυῖ
α τῆς τετυφυίας τὸ τετυφὸς ·φότος
μέσος Ὁ τετυπὼς ·πότος·

Ἀόριστος·

Ὁ τύψας ·ψαντος· ἡ τύψασα τυψά
σης τὸ τύψαν τοῦ ·ψαντος·

Ἀόριστος δεύτερος·

Ὁ τυπὼν τοῦ τυπόντος ἡ τυποῦσα τῆς
σης· τὸ τυπὸν τοῦ τυπόντος· μέλλων
Ὁ τύψων τοῦ ·τος ἡ τύψουσα τῆς· σης
τὸ τύψον ·τος·

Μέλλων δεύτερος

Ο τύπων τοῦ τύπτουντος ἢ τυπτούσα τῆς τυπτούσης τὸ τυπτοῦ τοῦ τυπτοῦντος.

Σημείωσαι ὅτι ἐν ταῖς ἄλλαις ἐγκλίσεσι πλὴν τῶν ὁριστικῶν ὁ ἐνεστὼς καὶ ὁ παρατατικὸς συνίασιν ὥστε ὃς γράφεται ἐνεστώς. ὁ αὐτός ἐστιν καὶ παρατατικὸς ὁμοίως καὶ ὁ παρακείμενος καὶ ὁ ὑπερσυντέλικος ἐστιν ὁ αὐτός.

Ὁριστικὰ παθητικά.

Τύπτομαι τύπτῃ τύπτεται. Δυϊκά τυπτόμεθον τύπτεσθον τύπτεσθον. πληθυντικὰ τυπτόμεθα τύπτεσθε τύπτονται.

Παρατατικὸς

Ἐτυπτόμην. πτου. πτετο. ἐτυπτόμεθον ἐτύπτεσθον ἐτυπτέσθην ἐτυπτόμεθα ἐτύπτεσθε ἐτύπτοντο.

Παρακείμενος.

Τέτυμμαι τέτυψαι τέτυπται μεθον·
τέτυφθον τέτυφθον· μεθα· τέτυφθε
τετυμμένοι εἰσὶ καὶ ἰωνικῶς· φαται·

Υπερσυντέλικος·

Ετετύμμην ἐτέτυψο ἐτέτυπτο· μεθον
ἐτέτυφθον· θην· μεθα· ἐτέτυφθε τετυμ
μένοι ἦσαν, καὶ ἰωνικῶς· φατο·
Ο τε δὲ παρακείμενος παθητικὸς ἑτέρω
συμφώνω πρὸ τοῦ· μ· παραλήγεται
τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν
οὐ ποιεῖ ὁμοίως καὶ ἐν τῷ ὑπερσυντελικῷ
ὁμοίως καὶ τὸ εὐκτικὸν καὶ τὸ ὑπο
τακτικὸν οὐ ποιεῖ ταῦτα δὲ ἡ χρῆσις
διὰ μετοχῆς καὶ ῥήματος ὑπαρκτι
κοῦ, ἀναπληροῖ ὡς εἴρηται καὶ ἑξῆς φα
νεῖται·

Αόριστος·

Ετύφθην· φθης· φθη· φθητον· φθήτην·
ἐτύφθημεν· φθητε· σαν·

Αόριστος δεύτερος·

ἐτύπτην · πτης · πτη · πτητον · πτήτην · ἐ
τύπτημεν · πτητε · πτησαν ·

Μέλλων ·

τυφθήσομαι τυφθήσῃ τυφθήσεται τυφ
θησόμεθον τυφθήσεσθον · σεσθον · τυφθη
σόμεθα · σεσθε · τυφθήσονται ·

Μέλλων δεύτερος ·

τυπήσομαι τυπήσῃ τυπήσεται τυπη
σόμεθον · σεσθον · σθον · τυπησόμεθα ·
πήσεσθε · σονται ·

μετ' ὀλίγον μέλλων ·

τετύψομαι · ψῃ · ψεται · τετυψόμεθον
· ψεσθον · ψεσθον · τετυψόμεθα · ψεσθε
ψονται

μέσος ἀόριστος ·

ἐτυψάμην · ψω · ψατο · ἐτυψάμε
θον · ψασθον · ψάσθην · ψάμεθα · ψα
σθε · ψαντο ·

μέσος ἀόριστος δεύτερος ·

ἐτυπόμην · που · πετο · ἐτυπόμεθον

ἐτύπτεσθον ἐτυπτέσθην ἐτυπτόμεθα ἐτύ
πτεσθε ἐτύπτοντο.

Μέσος μέλλων.

Τύψομαι. ψῃ. ται. μεθον σθον σθον
μεθα σθε νται.

μέσος μέλλων δεύτερος

τυποῦμαι τυπῇ τυπεῖται τυπούμε-
θον τυπεῖσθον τυπεῖσθον τυπούμεθα
τυπεῖσθε τυποῦνται.

Προστακτικὰ παθητικὰ ἐνεστῶσ

Τύπτου τυπτέσθω τύπτεσθον τυπτέ
σθων. σθε τυπτέσθωσαν.

Παρακείμενος

τέτυψω τετύφθω. θον τετύφθων τέ
τυφθε φθωσαν.

Ἀόριστος.

τύφθητι τυφθήτω. τον τυφθήτων τύ
φθητε τυφθήτωσαν.

Ἀόριστος δεύτερος

τύπηθι τυπήτω τύπητον τυπήτων
τύπητε τυπήτωσαν.

Μέσος ἀόριστος.

τύψαι τυψάσθω· σθον· άσθων· σθε·
τυψάσθωσαν.

Μέσος ἀόριστος δεύτερος

τυποῦ τυπέσθω πεσθον τυπέσθων
τύπεσθε τυπέσθωσαν.

Εὐκτικὰ παθητικὰ καὶ μέσα ἐνεστῶς

τυπτοίμην τύπτοιο· τοιτο τυπτοίμε
θον πτοισθον τυπτοίσθην τυπτοίμεθα
πτοισθε· τύπτοιντο.

Παρακείμενος.

τετυμμένος εἴην τετυμμένος εἴης τε-
τυμμένος εἴη τετυμμένω εἴητον εἰήτην
τετυμμένοι εἴημεν εἴητε εἴησαν.

Ἀόριστος

τυφθείην τυφθείης τυφθείη τυφθείητον
τυφθειήτην τυφθείημεν τυφθείητε τυφ

θείησαν · Ἀόριστος δεύτερος ·

Τυπείην τυπείης τυπείη · τον · την · τυ
πείημεν · πείητε · ησαν ·

Μέλλων ·

τυφθησοίμην · σοιο · σοιτο · τυφθησοί
μεθον τυφθήσοισθον · σοίσθην · σοίμεθα
σοισθε · σοιντο ·

μέλλων δεύτερος ·

τυποισοίμην τυποίσοιο · το · μεθον ·
σοισθον · τυπησοίσθην τυπησοίμεθα
σοισθε · πήσοιντο ·

Μετὀλίγον μέλλων ·

τετυψοίμην · ιο · το · μεθον · σθον ·
σθην · μεθα · σθε · ντο ·

μέσος ἀόριστος ·

τυψαίμην · αιο · αιτο · μεθον · αισθον
αίσθην · μεθα · αισθε · αιντο ·

μέσος ἀόριστος δεύτερος ·

τυποίμην · ποιο · ποιτο · Τυποίμεθον

τύπτοισθον. τυπτοίσθην. τυπτοίμεθα. τύπτοι
σθε. τύπτοιντο. μέσος μέλλων.
τυψοίμην. οιο. οιτο. μεθον. σθον. σθην
μεθα. σθε. οιντο.

μέσος μέλλων δεύτερος.

τυποίμην τυποῖο τυποῖτο τυποίμε
θον τυποῖσθον τυποίσθην τυποίμεθα
τυποῖσθε τυποῖντο.

Ὑποτακτικὰ παθητικὰ ἐνεστὼς.

ἐὰν τύπτωμαι. πτῃ. πτηται. ἐὰν τυ
πτώμεθον. πτησθον. σθον. μεθα. πτη
σθε. πτωνται.

Παρακείμενος.

τετυμμένος ἐὰν ὦ ἐὰν ῇς ἐὰν ῇ. τετυμ
μένω ἐὰν ἦτον ἦτον. τετυμμένοι ἐὰν
ὦμεν ἐὰν ἦτε ἐὰν ὦσι. ἀόριστος.
ἐὰν τυφθῶ τυφθῇς τυφθῇ ἐὰν τυφθῆτον
τυφθῆτον ἐὰν τυφθῶμεν τυφθῆτε τυφ
θῶσι. Ἀόριστος δεύτερος.

ἐὰν τυπῶ τυπῇς τυπῇ ἐὰν τυπῆτον τυπῆτον ἐὰν τυπῶμεν τυπῆτε τυπῶ σι.

μέσος ἀόριστος.

ἐὰν τύψωμαι. ψῃ. ηται. μεθον. ησθον ησθον. μεθα. ησθε. ωνται.

μέσος ἀόριστος δεύτερος.

ἐὰν τύπωμαι. πῃ. πηται. ἐὰν τυπώμεθον. πησθον. σθον. ἐὰν τυπώμεθα. πησθε. πωνται.

Ἀπαρέμφατα παθητικὰ καὶ μέσα ἐνεστώς.

Τύπτεσθαι. Παρακείμενος. τετύφθαι. Ἀόριστος. τυφθῆναι. Ἀόριστος δεύτερος τυπῆναι. μέλλων τυφθήσεσθαι. μέλλων δεύτερος. τυπήσεσθαι. μετ' ὀλίγον μέλλων. τετύψεσθαι. μέσος ἀόριστος τύψασθαι. μέσος ἀόριστος δεύτερος. τυπέσθαι. μέσος μέλλων.

τύψεσθαι· μέσος μέλλων δ' ἅτερος τυπεῖσθαι·

Μετοχαὶ παθητικαὶ καὶ μέσαι

ἐνεστώς·

Ὁ τυπτόμενος· Ἡ τυπτομένη· Τὸ τυπτόμενον· παρακείμενος·

Ὁ τετυμμένος· Ἡ τετυμμένη· τὸ τετυμμένον· ἀόριστος·

Ὁ τυφθείς· Ἡ τυφθεῖσα· τὸ τυφθέν

Ἀόριστος δεύτερος·

Ὁ τυπείς· Ἡ τυπεῖσα· τὸ τυπέν μέλλων· Ὁ τυφθησόμενος· Ἡ τυφθησομένη· μένης· τὸ τυφθησόμενον· ·μένου· μέλλων δεύτερος·

Ὁ τυπησόμενος· Ἡ τυπησομένη· μένης· Τὸ τυπησόμενον· μένου·

μετ' ὀλίγον μέλλων· Ὁ τετυψόμενος· Ἡ τετυψομένη· τὸ τετυψόμενον· μέσως ἀόριστος· Ὁ τυψάμενος· Ἡ τυ

ψαμένη· τὸ τυψάμενον·
μέσος ἀόριστος δεύτερος· Ὁ τυπό
μενος· Ἡ τυπομένη· τὸ τυπόμενον
μέσος μέλλων· Ὁ τυψόμενος· Ἡ
τυψομένη· τὸ τυψόμενον·
μέσος μέλλων δεύτερος·
Ὁ τυπούμενος· Ἡ τυπουμένη· τὸ
τυπούμενον·
Ἐνεργητικὰ ῥήματά ἐστι τὰ ἐνέργειαν
σημαίνοντα ἐν φωνῇ ἐνεργητικῇ·
Παθητικὰ δέ, τὰ πάθος, σημαίνοντα
μέσα δὲ ὅσα ἐν φωνῇ παθητικῇ ἐνέργειαν
σημαίνει οἷον, τύψομαι, ἐτυψάμην·
Ὁ παθητικὸς παρακείμενος ἐκ τοῦ ἐ
νεργητικοῦ γίνεται τροπῇ τοῦ ·κα· εἰς
μαι οἷον ἔσπαρκα ἔσπαρμαι καὶ εἰ μὲν
εἰς ·φα· λήγει τὸ ἕτερον μ προσλαμβά
νει οἷον γέγραφα γέγραμμαι εἰ δὲ εἰς χα
λήγει τὸ ·γ· προσλαμβάνει οἷον λέλε

χα λέλεγμαι. ἂν δὲ εἰς κα καὶ περισπωμένου εἴη. ε. ἢ α ἐν τῇ παραληγούσῃ ἔχοντο. σ. προσλαμβάνουσιν· οἷον τετέλεκα τετέλεσμαι. γεγέλακα γεγέλασμαι. μακρᾶς δὲ οὔσης τῆς παραληγούσης οὐδὲν προσλαμβάνουσιν· οἷον πεποίηκα. πεποίημαι. τὸ δὲ. κα. τῶν βαρυτόνων τὸ σ προσλαμβάνουσιν· οἷον πείθω πέπεικα πέπεισμαι. χρίζω κέχρικα κέχρισμαι πλὴν τῆς πέμπτης καὶ ἕκτης συζυγίας. ἃ οὐδὲν προσλαμβάνουσιν. οἷον σφάλλω ἔσφαλκα ἔσφαλμαι πλέω πέπλευκα πέπλευμαι. τὸ μέντοι ἀκούω ἤκουσμαι καὶ τὸ ἑλκύω εἵλκυσμαι ποιεῖ.

Περὶ τῶν περισπωμένων ῥημάτων.

Τὰ περισπώμενα ῥήματα ἀπὸ τῆς ἕκτης συζυγίας τῶν βαρυτόνων κατὰ συναίρεσιν γίνεται ὅθεν καὶ ἐπὶ τοῦ μέλλον

τος τὸ . σ ἔχουσιν οἷον ποιέω ποιῶ ποι-
ήσω . γελάω γελῶ γελάσω χρυσόω χρυ-
σῶ χρυσώσω .

Πρώτη συζυγία τῶν περισπωμένων ἐ-
στὶν ἧς τὸ ἐντελὲς ἐστὶ τοῦ βαρυτόνου
διὰ τοῦ . έω . προφέρεται οἷον ποιέω .
ποιῶ καὶ ἐστὶ τοῦ μέλλοντος τὸ η πρό
του σ ἔχει οἷον ποιήσω πλὴν τοῦ κα-
λέω καλῶ αἰνέω αἰνῶ φορέω φορῶ ἀρκέω
ἀρκῶ τελέω τελῶ ὀλέω ὀλῶ ἃ διὰ τοῦ
έσω . τὸν μέλλοντα ποιεῖ καὶ τὰ ἀπ᾽ ἐ-
κείνων συντιθέμενα ῥήματα ὁμοίως οἷ-
ον αἰνέσω ἐπαινέσω παραινέσω .

Τὰ περισπώμενα ῥήματα ὡς εἴρηται
συνῃρημένα εἰσὶν ἀπὸ τῆς ἕκτης συζυ-
γίας τῶν βαρυτόνων διὰ τοῦτο ἐπὶ
μόνου τοῦ ἐνεστῶτος καὶ παρατατι-
κοῦ παραλάσει ἐν οἷς τοῦ τελικοῦ φω-
νήεντος καθαροῦ ὄντος δύναται συναι-

ρεσις γίνεσθαι· κατὰ τοὺς τῶν συναιρέ
σεων κανόνας· ἐπὶ δὲ τῶν ἄλλων χρό-
νων τὰ αὐτὰ πάντα ἅπασι τοῖς βαρυ
τόνοις τυγχάνουσι· φυλασσομένης γε
μὴν ἐν πᾶσι τοῖς ἀσυναιρέτοις χρόνοις
τῆς τοῦ μέλλοντος παραληγούσης.
Ἐπὶ τῶν περισπωμένων ῥημάτων, οἱ
μέσοι παρακείμενοι καὶ ὑπερσυντέλι
κοι· δεύτεροι ἀόριστοι· καὶ μέλλοντες
σπανίως εὑρίσκονται· ὥσπερ δηλονό
τι καὶ ἐπὶ τῆς ἕκτης συζυγίας τῶν
βαρυτόνων ἀφ' ἧς παράγονται.

Ὁριστικὰ ἐνεργητικὰ ἐνεστὼς

Ποιέω ποιῶ ποιέεις ποιεῖς ποιέει ποιεῖ.
ποιέετον ποιεῖτον· ἔτον· ποιεῖτον.
πληθυντικά· ποιέομεν ποιοῦμεν ποι
έετε ποιεῖτε ποιέουσι ποιοῦσι.

Παρατατικός.

ἐποίεον ἐποίουν ἐποίεες ἐποίεις ἐποίεε
ἐποίει. ἐποιέετον ἐποιεῖτον ἐποιεέτην
ἐποιείτην ἐποιέομεν ἐποιοῦμεν ἐποιέετε
ἐποιεῖτε ἐποίεον ἐποίουν.

Παρακείμενος.

πεποίηκα. κας. κε. καὶ τὰ λοιπὰ ὡς
τέτυφα τέτυφας.

Ὑπερσυντέλικος.

ἐπεποιήκειν. κεις. κει. ὡς ἐτετύφειν

Ἀόριστος.

ἐποίησα ἐποίησας. ὡς ἔτυψα ἔτυ-
ψας. Μέλλων.

ποιήσω ποιήσεις ποιήσει τύψω τύψεις

Προστακτικὰ ἐνεργητικὰ ἐνεστῶς

ποίεε ποίει ποιεέτω ποιείτω ποιέετον
ποιεῖτον ποιεέτων ποιείτων ποιέετε
ποιεῖτε ποιεέτωσαν ποιείτωσαν.

Παρακείμενος.

πεποίηκε πεποιηκέτω. ὡς τέτυφε.

Ἀόριστος.

ποίησον ποιησάτω. ὡς τύψον ψάτω

Εὐκτικὰ ἐνεργητικὰ ἐνεστῶς.

ποιέοιμι ποιοῖμι ποιέοις ποιοῖς ποιέοι ποιοῖ ποιέετον ποιοῖτον ποιεέτην. ποιοίτην ποιέοιμεν ποιοῖμεν ποιέοιτε ποιοῖτε ποιέοιεν ποιοῖεν.

Παρακείμενος.

πεποιήκοιμι. κοις. κοι. τετύφοιμι

Ἀόριστος.

ποιήσαιμι. σαις. σαι. ὡς τύψαιμι.

Μέλλων.

ποιήσοιμι. σοις. σοι. ὡς τύψοιμι

Ὑποτακτικὰ ἐνεστώς.

Ἐὰν ποιέω ἐὰν ποιῶ ἐὰν ποιέῃς ἐὰν ποιῇς ἐὰν ποιέῃ ἐὰν ποιῇ ἐὰν ποιέητον. ἐὰν ποιῆτον ἐὰν ποιέητον. ἦτον ἐὰν ποιέωμεν. ὦμεν. ἐὰν ποιέητε. ἦτε. ἐὰν ποιέωσιν. ὦσιν.

παρακείμενος

Ἐὰν πεποιήκω ὡς ἐὰν τετύφω.

Ἀόριστος.

Ἐὰν ποιήσω. ποιήσῃς ποιήσῃ.

Ἀπαρέμφατα.

ποιέειν ποιεῖν. παρακείμενος πεποιηκέναι. Ἀόριστος ποιῆσαι Μέλλων ποιήσειν.

Μετοχαὶ ἐνεργητικαί.

Ὁ ποιέων ὁ ποιῶν Ἡ ποιέουσα ἡ ποιοῦσα Τὸ ποιέον τὸ ποιοῦν.

παρακείμενος.

Ὁ πεποιηκὼς Ἡ πεποιηκυῖα τὸ πεποιηκός. Ἀόριστος

Ὁ ποιήσας Ἡ ποιήσασα τὸ ποιῆσαν μέλλων. Ὁ ποιήσων ἡ ποιήσουσα Τὸ. ποιῆσον

Ὁριστικὰ παθητικὰ καὶ μέσα.

Ποιέομαι ποιοῦμαι ποιέῃ. ποιῇ. ποιέε

ται ποιεῖται ποιεόμενον. ποιούμενον.
ποιέεσθον ποιεῖσθον ποιέεσθον. εῖσθον
ποιεόμεθα ποιούμεθα ποιέεσθε. εῖσθε
ποιέονται ποιοῦνται.

παρατατικός.

Ἐποιεόμην ἐποιούμην. ἐποιέου ἐποιοῦ.
ἐποιέετο ἐποιεῖτο ἐποιεόμενον ἐποιού-
μενον ἐποιέεσθον ἐποιεῖσθον ἐποιεέσθην ἐ-
ποιείσθην ἐποιεόμεθα ἐποιούμεθα ἐποι-
έεσθε ἐποιεῖσθε ἐποιέοντο ἐποιοῦντο.

παρακείμενος.

πεποίημαι πεποίησαι. ὡς τέτυμμαι
τὸ τρίτον τῶν πληθυντικῶν, πεποίην-
ται ὅτι καθαρὰν ἔχει τὴν ἐσχάτην.

Ὑπερσυντέλικος.

Ἐπεποιήμην ἐπεποίησο ητο. ὡς ἐτετύ-
μην τὸ τρίτον τῶν πληθυντικῶν, ἐπεποί-
ηντο.

Ἀόριστος.

Ἐποιήθην ἐποιήθης ὡς ἐτύφθην. μέλλων

ποιηθήσομαι· θήσῃ· ὡς τυφθήσομαι·

μετ᾽ ὀλίγου·

πεποιήσομαι πεποιήσῃ τετύψομαι

μέσος ἀόριστος·

ἐποιησάμην· ήσω· ἐτυψάμην·

μέσος μέλλων·

ποιήσομαι· σῃ· τύψομαι·

προστακτικὰ παθητικὰ καὶ μέσα

ἐνεστῶς·

ποιέου ποιοῦ ποιεέσθω ποιείσθω ποιεέ-
σθον· εῖσθον· ποιεέσθων· είσθων· ποιεέ
σθε· εῖσθε· ποιεέσθωσαν· είσθωσαν·

παρακείμενος·

πεποίησο· τέτυψο· ἀόριστος·
ποιήθητι· τύφθητι· μέσος ἀόριστος
ποίησαι· ησάσθω· τύψαι τυψάσθω·
εὐκτικὰ παθητικὰ καὶ μέσα ἐνεστῶς
ποιεοίμην ποιοίμην ποιέοιο· οῖο· έοιτο
οῖτο· ποιεοίμεθον ποιοίμεθον ποιεοί-

σθον ποιοῖσθον ποιεοίσθην ποιήσθην ποι-
εοίμεθα ποιοίμεθα ποιέοισθε. οῖσθε.
ποιέοιντο. οῖντο.

παρακείμενος.

πεποιήμην πεποίηο πεποίητο καθα-
ρὰν γὰρ ἔχει τὴν ἐσχάτην ὁ παθητι-
κὸς παρακείμενος. ἀόριστος.
ποιηθείην θείης. τυφθείην. μέλλων.
ποιηθησοίμην σοιο. τυφθησοίμην.

μετ' ὀλίγον μέλλων

πεποιησοίμην. σοιο. τετυψοίμην.

μέσος ἀόριστος

ποιησαίμην ποιήσαιο τυψαίμην

μέσος μέλλων

ποιησοίμην σοιο τετυψοίμην

Υποτακτικὰ παθητικὰ καὶ μέσα

Εὰν ποιέωμαι ἐὰν ποιῶμαι ἐὰν ποιέῃ ἐ-
ὰν ποιῇ ἐὰν ποιέηται ἐὰν ποιῆται ἐὰν
ποιεώμεθον ἐὰν ποιώμεθον ἐὰν ποιέ

ησθον. ἐὰν ποιῆσθον ἐὰν ποιέησθον ἐὰν
ποιῆσθον ἐὰν ποιεώμεθα ἐὰν ποιώμεθα
ἐὰν ποιέησθε ἐὰν ποιῆσθε ἐὰν ποιέωνται
ἐὰν ποιῶνται.

Παρακείμενος.

Ἐὰν πεποιῶμαι ἐὰν πεποιῇ ὡς ἐὰν τετύ-
φωμαι. καθαρὰν γὰρ ἔχει τὴν ἐσχά-
την.

Ἀόριστος.

Ἐὰν ποιηθῶ ποιηθῇς. ὡς ἐὰν τυφθῶ.

Μέσος ἀόριστος.

Ἐὰν ποιήσομαι. ἐὰν τυφθήσομαι.

Ἀπαρέμφατα παθητικὰ καὶ μέσα

Ποιέεσθαι ποιεῖσθαι. παρακείμενος
πεποιῆσθαι. Ἀόριστος.
ποιηθῆναι. Μέλλων.
ποιηθήσεσθαι. μετ' ὀλίγον μέλλων
πεποιήσεσθαι. μέσος ἀόριστος.
ποιήσασθαι. μέσος μέλλων. α.
ποιήσεσθαι.

Μετοχαὶ παθητικαί.

Ὁ ποιεόμενος ὁ ποιούμενος. Ἡ ποιεομένη ἡ ποιουμένη. τὸ ποιεόμενον. τὸ ποιούμενον. παρακείμενος.

Ὁ πεποιημένος Ἡ πεποιημένη. τὸ πεποιημένον Ἀόριστος.

Ὁ ποιηθεὶς. Ἡ ποιηθεῖσα τὸ ποιηθὲν.

Μέλλων.

Ὁ ποιηθησόμενος. Ἡ ποιηθησομένη. τὸ ποιηθησόμενον. μετ' ὀλίγον μέλλων.

Ὁ πεποιησόμενος. Ἡ πεποιησομένη τὸ πεποιησόμενον. μέσος ἀόριστος.

Ὁ ποιησάμενος. Ἡ ποιησαμένη τὸ ποιησάμενον. μέσος μέλλων.

Ὁ ποιησόμενος. Ἡ ποιησομένη τὸ ποιησόμενον.

Αἱ συναιρέσεις τῆς πρώτης συζυγίας.

Δευτέρα συζυγία τῶν περισπωμένων ἐστὶν ἧς τὸ ἐντελὲς ἐπὶ τοῦ βαρυτόνου

διὰ τοῦ · άω · προφέρεται οἷον γελάω,
γελῶ · βοάω βοῶ · καὶ ἐπὶ τοῦ μέλλοντος
πρὸ τοῦ · σ · τὸ · α · καὶ τὸ · η · ἔχει οἷον
γελάσω βοήσω ·

Ὁριστικὰ ἐνεργητικά

Ἐνεστώς ·

Βοάω βοῶ βοάεις βοᾷς · βοάει βοᾷ βοά-
ετον βοᾶτον βοάετον βοᾶτον · βοάομεν
βοῶμεν βοάετε βοᾶτε · βοάουσι βοῶσι ·

Παρατατικός ·

Ἐβόαον ἐβόων · όαες · όας ἐβόαε · όα ἐ-
βοάετον · ᾶτον αέτην άτην ἐβοάο-
μεν ἐβοῶμεν · άετε ἐβοᾶτε ἐβόαον · όων
Οἱ λοιποὶ χρόνοι ὁμοίως τῇ πρώτῃ συ-
ζυγίᾳ κλίνονται φυλασσομένης γε μὴν
τῆς ἰδίας παραληγούσης ·

Προστακτικὸν ἐνεργητικὸν ῥῆμα ·

Ἐνεστώς ·

Βόαε βόα βοαέτω βοάτω · άετον ᾶτον

αέτων. άτων. αέτε. ᾶτε βοαέτωσαν
βοάτωσαν.

Ευκτικὸν ῥῆμα Ενεστώς.

Βοάοιμι βοῷμι βοάοις βοῷς. άοι. βοῷ.
βοάοιτον. ῷτον. αοίτην. ῴτην βοάοι
μεν ῷμεν άοιτε. ῷτε. άοιεν βοῷεν.

Υποτακτικὰ ῥῆμα Ενεστώς

Εὰν βοάω ἐὰν βοῶ. άης. ᾶς. άη βοᾷ
ἀν άητον. ᾶτον άητον. ᾶτον ἐὰν βοά
ωμεν ῶμεν ἐὰν βοάητε. ᾶτε ἐὰν βοάω
σι ἐὰν βοῶσι.

Απαρέμφατα. Ενεστώς

Βοάειν βοᾶν. καὶ τὰ λοιπὰ κατὰ τὴν
ἀκολουθίαν τῆς πρώτης συζυγίας.

Μετοχαὶ Ενεστώς.

Ο βοάων ὁ βοῶν Η βοάουσα ἡ βοῶσα.
τὸ βοάον τὸ βοῶν.

Οριστικὰ παθητικά.

Ενεστώς.

Βοάομαι βοῶμαι βοάῃ βοᾷ βοάεται βοᾶ-
ται βοαόμεθον βοώμεθον βοάεσθον βο-
ᾶσθον βοάεσθον βοάσθον βοαόμεθα βοώ-
μεθα βοάεσθε βοᾶσθε βοάονται βοῶνται

Παρατατικός·

Ἐβοαόμην· ώμην· άου· οῶ· άετο· ᾶτο·
αόμεθον· ώμεθον· άεσθον· ᾶσθον· αέ-
σθην· άσθην· αόμεθα· ώμεθα· αεσθε· ᾶ-
σθε· άοντο· ῶντο·

Προστακτικὸν παθητικόν·

Βοάου· βοῶ· αέσθω· άσθω· αέσθον· ᾶ-
σθον· αέσθων· άσθων· άεσθε· ᾶσθε αέ-
σθωσαν· άσθωσαν·

Εὐκτικὸν παθητικόν·

Βοαοίμην· ώμην· άοιο· ῷο· άοιτο· ῷτο
αοίμεθον· ώμεθον· άοισθον· ῷσθον· αοί-
σθην· ώσθην· αοίμεθα· ώμεθα· άοισθε
ῷσθε· άοιντο· ῷντο·

Ἀπαρέμφατον παθητικόν·

βοάεσθαι. ᾶσθαι. καὶ τὰ λοιπὰ ὡς ἄ-
νω εἴρηται.

Ὑποτακτικοῦ παθητικοῦ ἐνεστώς.

Ἐὰν βοάωμαι. ῶμαι. άῃ. ᾶ. άηται. ᾶ-
ται. αώμεθον. ώμεθον. άησθον. ᾶσθον.
άησθον βοᾶσθον ἐὰν βοαώμεθα βοώμεθα
ἐὰν βοάησθε βοᾶσθε ἐὰν βοάωνται βοῶν-
ται.

Μετοχαὶ παθητικαί.

Ὁ βοαόμενος ὁ βοώμενος Ἡ βοαομένη
ἡ βοωμένη τὸ βοαόμενον τὸ βοώμενον

Αἱ συναιρέσεις τῆς δευτέρας συζυγίας
τῶν περισπωμένων, εἰσὶν αὗται.

Σημειωτέον δὲ ἐπὶ τούτων τῶν συναι-
ρέσεων τῆς δευτέρας συζυγίας τῶν πε-
ρισπωμένων ὅτι τὸ μὲν α καὶ ω μέγα
εἰς ω μέγα κιρνᾶται. τὸ δὲ α καὶ ε
εἰς α μακρὸν· ἐφ' ὧν δὲ μετὰ τὸ α
δίφθογγος ἐπάγεται. ἢ διὰ τοῦ ε καὶ

ι διαλυομένης τῆς διφθόγγου τὸ μὲν
α καὶ ε πάλιν εἰς α μακρὸν κιρνᾶται
τὸ δὲ ι προσγράφεται οἷον βοάεις βο-
ᾶς καὶ τὸ · α · δὲ καὶ ο μικρὸν εἰς · ω ·
μέγα κιρνᾶται ἐφ᾽ ὧν δὲ μετὰ τὸ α
ου δίφθογγος ἐπάγεται · ἢ οι δίφθογγος
διὰ τοῦ · ο καὶ ι διαλυομένης · τῆς
διφθόγγου · τὸ μὲν α καὶ ο αὖθις εἰς
ω μέγα κιρνᾶται τὸ δὲ · υ · ἀποβάλ-
λεται οἷον βοάουσι βοῶσι · τὸ δὲ · ι ·
προσγράφεται οἷον βοάοιμι βοῷμι τὸ
δὲ α καὶ η ἐπὶ τοῦ βοάη δευτέρου ·
προσώπου τοῦ ὁριστικοῦ παθητικοῦ ἐν
μεσῶτος ὤφελε μὲν εἰς η · κιρνᾶσθαι κα-
τὰ τὴν τῆς συναιρέσεως κανόνα εἵλετο
δὲ μᾶλλον τὸ χαρακτηριστικὸν, τῆς
συζυγίας πρώτης ἐπὶ δὲ τοῦ ὑποτακ-
τικοῦ ὡς εἴρηται ἐὰν βοάῃς ἐὰν βοᾷς καὶ
[illegible] βοῇς καὶ ἐπὶ τοῦ παθητικοῦ παρα-

κειμένου ὁμοίως ἐὰν βοᾷ ἢ ἐὰν βοᾷ καὶ τοῦ
βοῇ διότι ἐστὶ τῆς δευτέρας καὶ τρίτης
συζυγίας τῶν περισπωμένων τὰ ὑπο-
τακτικὰ ὁμοίως τοῖς ὁριστικοῖς κλίνε-
ται καὶ συμβαίνει θεωροῦσιν ὅτι ἔνθα
μὲν ἐστὶ τῆς πρώτης συζυγίας τῶν πε-
ρισπωμένων ἐκ τοῦ .ει. δίφθογγον γίνεται ἡ
συναίρεσις τῆς διὰ τοῦ ε καὶ ι ἐπὶ τῆς δευ-
τέρας συζυγίας ἐκ τοῦ α γίνεται ἔνθα δὲ ἐστὶ
τῆς πρώτης συζυγίας ἐκ τοῦ ἄλλο τι ἐστὶ
τῆς δευτέρας συζυγίας, ἐκ τοῦ .ω. μέγα
πλὴν τοῦ δευτέρου προσώπου ὁριστικοῦ
παθητικοῦ βοᾷ καὶ πλὴν τῶν ὑπο-
τακτικῶν ταῦτα γὰρ ὁμοίως τοῖς ὁ-
ριστικοῖς κλίνονται οἱ δὲ ἄλλοι πάντες
τῆς δευτέρας συζυγίας τῶν περισπω-
μένων χρόνοι ὁμοίως τῆς πρώτης συζυ-
γίας τῶν περισπωμένων καὶ τοῖς βαρυ-
τόνοις κατὰ τὰ προειρημένα κλίνονται

Τρίτη συζυγία τῶν περισπωμένων, ὧν
στὶν ἧς τὸ ἐντελὲς ἐπὶ τοῦ βαρυτόνου δι
ὰ τοῦ · όω · προφέρεται οἷον, χρυσόω χρυ
σῶ καὶ ἐπὶ τοῦ μέλλοντος, πρὸ τοῦ · σ ·
τὸ · ω · ἔχει οἷον, χρυσώσω στεφανώσω ·
σημειώσω πλὴν τοῦ ἀρόω ὁμόω ὀμόω βόω
βῶ, τὸ ῥέφω ·

Ὁριστικὰ ἐνεργητικά ·

Χρυσόω χρυσῶ χρυσόεις χρυσοῖς χρυ
σόει χρυσοῖ χρυσόετον χρυσοῦτον χρυ
σόετον χρυσοῦτον χρυσόομεν χρυσοῦ
μεν χρυσόετε χρυσοῦτε χρυσόουσι χρυ
σοῦσι · Παρατατικός ·

Ἐχρύσοον · σουν · ἐχρύσοες · σους · ἐχρύ
σοε · σου · ἐχρυσόετον · σοῦτον · ἐχρυσο
έτην · σούτην · ἐχρυσόομεν · σοῦμεν · ἐ
χρυσόετε · σοῦτε · ἐχρύσοον · σουν ·

Προστακτικὸν ἐνεργητικόν ·

Χρύσοε · σου · σοέτω · σούτω · σόετον ·

σούτον σοέτων· σούτων· σόετε σοῦτε
σοέτωσαν· σούτωσαν·

Εὐκτικὸν ἐνεργητικὸν ἐνεστώς·

Χρυσόοιμι σοῖμι· σόοις σοῖς· σόοι σοῖ·
σόοιτον· σοῖτον· σοοίτην· σοίτην σόοι
μεν σοῖμεν· σόοιτε σοῖτε· σόοιεν· σοῖ
εν· Ὑποτακτικὰ ἐνεστώς·

Ἐὰν χρυσόω σῶ· σόῃς· σοῖς σόῃ· σοῖ
σόητον σοῖτον· σόητον σοῖτον· σόωμεν
σῶμεν σόητε· σοῖτε· σόωσι· σῶσι·

Ἀπαρέμφατα ἐνεργητικά·

Χρυσόειν σοῦν· καὶ τὰ λοιπά·

Μετοχαί·

Ὁ χρυσόων ὁ χρυσῶν Ἡ χρυσόουσα ἡ
χρυσοῦσα Τὸ χρυσόον τὸ χρυσοῦν·

Ὁριστικὰ παθητικὰ

Ἐνεστώς·

Χρυσόομαι χρυσοῦμαι χρυσόῃ χρυσοῖ
χρυσόεται χρυσοῦται χρυσοόμεθον χρυ

σούμενον χρυσόεσθον χρυσοῦσθον χρυ
σόεσθον χρυσοῦσθον ʻχρυσοόμεθα μεθα
χρυσόεσθε · οῦσθε χρυσόονται · οῦνται ·

Παρατατικὸς ·

ἐχρυσοόμην ἐχρυσούμην ἐχρυσόου ἐ-
χρυσοῦ όετο οῦτο οόμεθον οὐμεθον ἐ-
χρυσόεσθον οῦσθον, έσθην οῦσθην, οόμε-
θα οὐμεθα όεσθε οῦσθε όοντο οῦντο

Προςακτικὸν · ἐμεςώς ·

Χρυσόου · οῦ · οέσθω · οῦσθω · εσθον σθον
οέσθων οῦσθων όεσθε οῦσθε οέσθωσαν ·
οῦσθωσαν ·

Ευκτικὸν παθητικὸν ·

Χρυσοοίμην οίμην όοιο οῖο όοιτο οῖτο
οοίμεθον οίμεθον όοισθον οῖσθον οοίσθω
οίσθην οοίμεθα · οίμεθα όοιντο οῖντο ·

Υποτακτικὸν παθητικὸν ·

Εὰν χρυσόωμαι ῶμαι όῃ οῖ όηται οῖται
οώμεθον ώμεθον όησθον οῖσθον όησθον οῖ

ᾶθον οῶμεθα· ώμεθα· όκαθε οῖοθε· όωνται
ῶνται. ἀπαρέμφατα.
Χρυσόεσθαι· οῖσθαι.

Μετοχαὶ παθητικαί.

Ο χρυσοόμενος ὁ χρυσούμενος. Η χρυσοομένη ἡ χρυσουμένη. Τὸ χρυσοόμενον τὸ χρυσούμενον.

Σημειωτέον δὲ καὶ ἐν ταῖσδε ἐν ταύταις ταῖς συναιρέσεσι τῆς τρίτης συζυγίας τῶν περισπωμένων ὅτι τό· ο· καί· ω· μέγα εἰς· ω· μέγα κίρνᾶται τὸ δέ· ε· καὶ ο εἰς τὴν· ου· δίφθογγον ἐπὶ δὲ τοῦ δευτέρου καὶ τρίτου προσώπου τοῦ ὁριστικοῦ ἐνεργητικοῦ ἐνεστῶτος δέον χρυσοῦς καὶ χρυσοῦ γίνεσθαι κατὰ συναίρεσιν χρυσοῖς διὰ τῆς· ο· καὶ ι δίφθογγου καὶ χρυσοῖ ποιεῖ τὸ μὲν ε ἀποβάλλον τὸ δέ· ο· καί· ι· κιρνῶν εἰς τὴν οι

δίφθογγον ἵνα τὸ δεύτερον καὶ γʹ τοῦ
προσώπου τοῦ ἐνεστῶτος ἐπὶ τῆς λισού-
σης δίφθογγόν τε διὰ τοῦ ι καὶ τὸ χα-
ρακτηριστικὸν τῆς συζυγίας φωνῆεν ἔ-
χῃ. τὰ δὲ διὰ · οο · εἰς τὴν ου δίφθογ-
γον κιρνᾶται καὶ τὸ · ο · καὶ ἡ ου δίφ-
θογγος εἰς τὴν · ου · δίφθογγον ὁμοίως
τὸ συνηρημένον τοῦ χρυσόῃ δευτέρου
προσώπου τοῦ παθητικοῦ ἐνεστῶτος
χρυσῇ τινὲς μὲν διὰ τοῦ · η · γράφου-
σι κατὰ τὴν συναιρέσεως ἀκολουθίαν
τινὲς δὲ χρυσοῖ ὃ καὶ βέλτιον δηλονό-
τι τῆς διὰ τοῦ ο καὶ ι τὸ · ο · καὶ · οι
δίφθογγος ἡ διὰ τοῦ ο καὶ ϊ · εἰς τὴν
αὐτὴν οι δίφθογγον κιρνᾶται · τὸ ὑπο-
τακτικὸν ἐὰν χρυσόω ἐὰν χρυσῶ · τὸ
δεύτερον ἐὰν χρυσόῃς · οῖς διὰ τῆς ο
καὶ ι · διφθόγγου ὁμοίως ἐὰν χρυσόῃ οῖ
ἐπὶ τῆς δευτέρας γὰρ καὶ γʹ τῆς συζυ-

γίας τῶν περισπωμένων, τὰ ὑποτακ
τικὰ ὁμοίως τοῖς ὁριστικοῖς κλίνονται
τὰ δυϊκὰ ὁμοίως ἐὰν χρυσόητον οἶτον
τούτου τὸ συνῃρημένον ἐὰν χρυσοῖτον,
διὰ διφθόγγου κατὰ τὴν ἀκολου
θίαν τῶν ἰδίων ἑνικῶν. τὰ πληθυν
τικὰ, ἐὰν χρυσόωμεν ῶμεν τὸ δεύτε
ρον ἐὰν χρυσόητε τὸ συνῃρημένον ἐὰν χρυ
σοῖτε διὰ διφθόγγου τὸ τρίτον ἐὰν χρυ
σόωσιν ῶσιν κατὰ τὴν ἀκολουθίαν τῶν
ἰδίων ἑνικῶν τὸ ὑποτακτικὸν παθη
τικὸν, ἐὰν χρυσόωμαι ῶμαι. τὸ δεύ-
τερον, ἐὰν χρυσόῃ οῖ διὰ διφθόγγου
ὁμοίως τῷ ἰδίῳ ὁριστικῷ τὸ τρίτον ἐὰν
χρυσόηται τούτου τὸ συνῃρημένον, πα
ρὰ μὲν τοῖς πλείστοις ἐὰν χρυσῶται ὡς
ἐπὶ τοῦ πρώτου προσώπου ῥοπῇ τῆς
μαι. ῆς. ται. παρ' ἐνίοις δὲ ἐὰν χρυσῆ
ται διὰ τοῦ. η. τὰ δυϊκὰ ἐὰν χρυ-

σούμεθον ὤμεθον. τὸ δεύτερον καὶ τρί-
τον ἐὰν χρυσόησθον. ὄησθον τὰ συνηρη-
μένα ἐὰν χρυσοῖσθον διὰ διφθόγγου
τὰ πληθυντικὰ ἐὰν χρυσοώμεθα ὤμε-
θα ἐὰν χρυσόησθε οἶσθε ἐὰν χρυσόωνται
ὦνται. Ἐνεστώς.
τὸ ἀπαρέμφατον χρυσόειν οῦν. τὸ πα-
θητικὸν χρυσόεσθαι οῦσθαι. τὸ συνηρημέ-
νον χρυσοῦν τοῦ ε. καὶ ο. εἰς τὴν ου.
δίφθογγον συναιρουμένων ἀνάγκη γὰρ
τὰ ἀπαρέμφατα τοῦ ἐνεστῶτος τὸ
χαρακτηριστικὸν τῆς συζυγίας φωνῆ-
εν ἔχειν τὸ μὲν ἐνεργητικὸν ἀπαρέμφα-
τον ἐν τῇ ληγούσῃ τὸ δὲ παθητικὸν ἐν
τῇ παραληγούσῃ οἷον ποιεῖν, ποιεῖσθαι
βοᾶν βοᾶσθαι χρυσοῦν οῦσθαι ὁμοίως
καὶ τὰ δεύτερα καὶ τρίτα πρόσωπα
τῶν ἐνεργητικῶν ἐνεστώτων οἷον, ποιεῖς,
ποιεῖ. βοᾷς βοᾷ. χρυσοῖς χρυσοῖ καὶ

συμβαίνει δὲ κἀν τούτοις θεωροῦσιν·
ὅτι ἔνθα μὲν ἐπὶ τῆς πρώτης συζυγίας
τῶν περισπωμένων, εἰς ·ω· μέγα γίνεται
ἡ συναίρεσις καὶ ἐπὶ ταύτης ἀεί, εἰς ·ω·
μέγα γίνεται ἐπὶ δὲ τῶν ἄλλων εἰς ·ου·
πλὴν τοῦ δευτέρου καὶ τρίτου προσώ-
που τοῦ ὁριστικοῦ ἐνεργητικοῦ ἐνεστῶτος
καὶ τοῦ δευτέρου προσώπου τοῦ πα-
θητικοῦ καὶ πλὴν τῶν εὐκτικῶν καὶ
τῶν μὴ εἰς ·ω· μέγα συναιρουμένων ὑ-
ποτακτικῶν ταῦτα γὰρ πάντα εἰς
τὴν ·οι· δίφθογγον τὴν διὰ τοῦ ·ο·
καὶ ·ι· συναιρεῖται.

Οἱ δ' ἄλλοι πάντες τῆς τρίτης συζυγίας
τῶν περισπωμένων χρόνοι ὁμοίως τοῖς
βαρυτόνοις καὶ τοῖς περισπωμένοις τῆς
πρώτης καὶ δευτέρας συζυγίας κλί-
νονται φυλαττομένης γε μὴν ἐπὶ πά-
σης συζυγίας τῶν περισπωμένων ἐν τοῖς

ἀσυναιρέτοις χρόνοις ὡς εἴρηται τῆς οἰ
κείας αὐτῇ τοῦ ἰδίου μέλλοντος παρα
ληγούσης οἷον ποιήσω ἐποίησα γελάσω
ἐγέλασα στεφανώσω ἐστεφάνωσα · καὶ ἐ
πὶ τῶν λοιπῶν χρόνων ὁμοίως ·

Περὶ τῶν εἰς · μι · ῥημάτων ·

Τὰ εἰς · μι · ῥήματα ἀπὸ τῶν περισπω
μένων ῥημάτων καὶ τῆς ἕκτης συζυ
γίας τῶν βαρυτόνων γίνονται ὅθεν καὶ
αὐτὰ ἐπὶ τοῦ μέλλοντος τὸ · σ · ἔχου
σι καὶ πρὸ τοῦ · σ · ἐκεῖνο τὸ φωνῆεν ἐ
πὶ τῆς παραληγούσης ὅπερ ἡ συζυγί
α ἀφ᾽ ἧς ἕκαστον παράγεται ἐπὶ τοῦ
μέλλοντος πρὸ τοῦ · σ · ἐπὶ τῆς παρα
ληγούσης ἔχει ·

Πρώτη συζυγία τῶν εἰς · μι · ἡ γινομένη ἀ
πὸ τῆς πρώτης τῶν περισπωμένων καὶ
ἐπὶ τοῦ παθητικοῦ τὸ · ε · ψιλὸν τῆς
παραληγούσης ἔχουσα δεῖγμα ποιας

ἐστὶ συζυγίας, καὶ ὅθεν ἐγένετο οὗτος ἀπὸ
τοῦ τιθέω τιθῶ τίθημι. τὸ παθητικὸν
τίθεμαι. ὁ μέλλων θήσω. Ἡ δευτέρα ἡ
γενομένη ἀπὸ τῆς δευτέρας τῶν περισ-
πωμένων καὶ ἐπὶ τοῦ παθητικοῦ τὸ
βραχὺ α. ἔχουσα ἐπὶ τῆς παραληγού-
σης οἷον ἱστάω ἱστῶ ἵστημι. τὸ παθητικὸν
ἵσταμαι.

ὁ μέλλων στήσω. Τρίτη ἡ γινομένη
ἀπὸ τῆς τρίτης τῶν περισπωμένων καὶ
ἐπὶ τοῦ παθητικοῦ τὸ. ο. μικρὸν ἔχου-
σα οἷον διδόω διδῶ δίδωμι. τὸ πα-
θητικὸν δίδομαι. ὁ μέλλων δώσω.
Τετάρτη ἡ γινομένη ἀπὸ τῆς ἕκτης τῶν
βαρυτόνων καὶ ἐπὶ τοῦ παθητικοῦ τὸ
. υ. ψιλὸν ἔχουσα οἷον ὀλλύω ὄλλυμι.
Τὰ εἰς μι ῥήματα παρὰ τὸ πρῶτον τῆς μι συλλα-
βῆς εἰς. ν. καὶ αὐξήσει τῆς ἀρχούσης τὸν
ἴδιον παρατατικὸν ποιεῖ τίθημι ἐτί

θην· ἵστημι· ἵστην· δίδωμι· ἐδίδων· ζεύγνυ
μι· ἐζεύγνυν. Τὰ εἰς μι ῥήματα ἀποβάλλοντα τῆς
μι συλλαβῆς εἰς σω καὶ τὸν ἀναδιπλα
σιασμὸν, ἀποβάλλοντα μέλλοντα
ποιεῖ.
Ἡ πρώτη συλλαβὴ τοῦ ἐνεστῶτος κα
τὰ ἀναδιπλασιασμὸν, ἐν ἐπὶ τοῦ
μέλλοντος ἀποβάλλει· οἷον, τίθημι· θήσω
ἵστημι· στήσω· δίδωμι δώσω.
Ἐπὶ τῶν εἰς μι ῥημάτων ὁ δεύτερος ἀ
όριστος ἀπὸ τοῦ μέλλοντος γίνεται ἀποβολῇ
τῆς τελευταίας συλλαβῆς εἰς · ν · καὶ αὐ
ξήσει τῆς ἀρχούσης ὥσπερ δηλονότι ὁ
παρατατικὸς ἐκείνοιν ἀπὸ τοῦ ἐ
νεστῶτος οἷον θήσω ἔθην· στήσω ἔστην· δώ
σω ἔδων· οὗτοι μὲν οὖν οἱ χρόνοι δηλο
νότι ὁ παρατατικὸς καὶ μέλλων καὶ
δεύτερος ἀόριστος· ἰδιόκλιτοι ἐν τοῖς
εἰς · μι · οἱ δὲ ἄλλοι χρόνοι λοιπὸν ἀπὸ

τοῦ μέλλοντος ὥσπερ ἐπὶ τῶν ἄλλων ῥη-
μάτων κανονίζονται.

Σημείωσαι ὅτι ἡ τετάρτη συζυγία
τῶν εἰς μι ἄχρι μόνου τοῦ παρατατι-
κοῦ κινεῖται ἔν τε τοῖς ἐνεργητικοῖς
καὶ ἐν τοῖς παθητικοῖς ἐν τοῖς εὐκτι-
κοῖς δὲ καὶ ὑποτακτικοῖς παντε-
λῶς ἐξέλοιπε ταῦτα δὲ ἔξεστι· ἀπὸ τῶν
βαρυτόνων σχηματίζειν.

Τῶν εἰς · μι · ῥημάτων ἡ πρώτη μὲν καὶ
ἡ δευτέρα συζυγία τῷ · η · παραλήγε-
ται · ἡ δὲ τρίτη τῷ · ω · μεγάλῳ ἡ τε-
τάρτη διχρόνῳ ἐκτεταμένῳ.

Τὰ εἰς · μι · ῥήματα ἐπὶ τῶν πληθυν-
τικῶν καὶ παθητικῶν συστέλλονται ἐ-
πὶ τῆς παραληγούσης τὸ οἰκεῖον · τῇ
συζυγίᾳ φωνῆεν λαμβάνοντα · οἷον τί-
θημι ἵστημι τίθεμαι ἵσταμαι · δίδωμι
δίδομαι · ζεύγνυμι ζεύγνυμαι..

Κλίσις τῶν εἰς μι ῥημάτων ὁριστικὰ ἐνεργητικὰ ἐνεστώς.

Τίθημι τίθης τίθησι τίθετον τίθετον
τίθεμεν τίθετε τιθεῖσι καὶ ἰωνικῶς τιθέ
ασι. Παρατατικός.
Ἐτίθην· θης· θη· ἐτίθετον· έτην· ἐτίθεμεν
ετε· εσαν. παρακείμενος.
τέθεικα· κας· κε· ὡς τέτυφα τέτυφας
Ὑπερσυντέλικος.
Ἐτεθείκειν· εικεις· εικει· ὡς ἐτετύφειν ἐ
τετύφεις ἀόριστος.
Ἔθηκα κας. ἔτυψα ἔτυψας.
Ἀόριστος δεύτερος.
Ἔθην· θης· θη· ἔθετον· έτην· εμεν· ετε·
εσαν. μέλλων.
Θήσω· σεις· τύψω τύψεις.
Προστακτικὰ ἐνεργητικὰ ἐνεστώς.
τίθετι· έτω· ετον· έτων· ετε· έτωσαν
παρακείμενος.

τέθεικε· κέτω τεθείκετον· κέτων τεθεί
κετε· κέτωσαν· ἀόριστος·
Θῆκον· κάτω· ὡς τύψον· άτω ἄχρη
στος ἀόριστος δεύτερος·
Θέτι καὶ κατὰ συγκοπὴν· θὲς θέτω·
θέτον των· θέτε θέτωσαν·

Εὐκτικὰ ἐνεργητικὰ ἐνεστῶς·

Τιθείην· είης· είη· είητον· ειήτην· είημεν· εί
ητε· είησαν καὶ τιθεῖεν·

παρακείμενος·

τεθήκοιμι· κοις κοι· ὡς τετύφοιμι τε
τύφοις· Ἀόριστος·
Θήκαιμι· καις· ὡς τύψαιμι τύψαις ἐ
πὶ τούτου ἄχρηστος·

Ἀόριστος δεύτερος·

Θείην· είης είη· είητον ειήτην· είημεν είητε·
είησαν· καὶ θεῖεν· μέλλων·
Θήσοιμι σοις· ὡς τύψοιμι τύψοις·

Ὑποτακτικὰ ἐνεργητικὰ ἐνεστῶς·

Ἐὰν τιθῶ τίθῃς τιθῇ ἐὰν τιθῆτον θῆτον θῶμεν θῆτε ὦσιν.

Παρακείμενος.

Ἐὰν τεθείκω θείκῃς ὡς ἐὰν τετύφω. φῃς

Ἀόριστος.

Ἐὰν θήκω ῃς ὡς ἐὰν τύψω τύψῃς.

Ἀόριστος δεύτερος.

Ἐὰν θῶ θῇς θῇ θῆτον τον ἐὰν θῶμεν ἐὰν θῆτε ἐὰν θῶσιν.

Ἀπαρέμφατα ἐνεργητικὰ ἐνεστῶς.

Τιθέναι. κ παρακείμενος. Τεθεικέναι Ἀόριστος. Θῆκαι ἄχρηστος. Ἀόριστος δεύτερος θῆναι μέλλων θείσειν.

Μετοχαὶ ἐνεργητικαὶ ἐνεστῶς.

Ὁ τιθεὶς τοῦ τιθέντος. Ἡ τιθεῖσα τῆς τιθείσης. Τὸ τιθὲν τοῦ τιθέντος.

παρακείμενος.

Ὁ τεθεικὼς κότος. ὡς ὁ τετυφὼς φότος αἱ τὰ λοιπά. ἀόριστος

Ὁ θήκας καντος· ὡς ὁ τύψας τοῦ τύψαντος ἄχρηστος ὡς εἴρηται.

Ἀόριστος δεύτερος.

Ὁ θεὶς τοῦ θέντος Ἡ θεῖσα τῆς θείσης.
τὸ θὲν τοῦ θέντος. μέλλων

Ὁ θήσων τοῦ θήσοντος ὡς τύψων τύψοντος.

Σημείωσαι ἐπὶ τῆς πρώτης καὶ δευτέρας καὶ τρίτης συζυγίας τῶν εἰς μι ὅτι τὰ ἑνικὰ καὶ τρίτα πρόσωπα τοῦ ὁριστικοῦ ἐνεργητικοῦ παρατατικοῦ μᾶλλον εἰσὶν ἐν χρήσει ἅπερ ἀπὸ τῶν περισπωμένων κανονίζονται. Δηλονότι ἀπὸ τιθέω τιθῶ ἐτίθεον ἐτίθουν ἐτίθεες ἐτίθεις ἐτίθεε ἐτίθει· καὶ ἀπὸ τοῦ ἱστάω ἱστῶ ἵσταον ἵστων ἵσταες ἵστας ἵσταε ἵστα καὶ ἀπὸ τοῦ διδόω διδῶ ἐδίδοον ἐδίδουν ἐδίδοες ἐδίδους ἐδίδοεν ἐδίδου ὁμοίως καὶ ἐπὶ τοῦ τρίτου προσώπου τῶν πληθυντικῶν ἐτίθουν καὶ ἵστων καὶ

ἐδίδουν.

Ὁ παρακείμενος θέθεικα ὤφειλεν εἶναι
διὰ δὲ τὴν ἐπαλληλίαν τῶν δασέων
τέθεικα λέγεται· ὤφειλε δὲ καὶ διὰ τοῦ
η· εἶναι· παραλήγουσαν γὰρ τὴν αὐτὴν
ἔχει ὁ παρακείμενος τῷ μέλλοντι· ἀλ-
λ' ἔθος βοιωτῶν ἐπεκράτησεν.

Ὁ ἀόριστος κατὰ τὴν ἀκολουθίαν ὤφει-
λεν εἶναι ἔθησα· ὁ γὰρ ἀόριστος τὸ σύμ-
φωνον τοῦ μέλλοντος θέλει ἔχειν.

Σημειωτέον δὲ ἐν μὲν τοῖς βαρυτόνοις
τὸ εἶπα καὶ τὸ ἤνεγκα· ἐν δὲ τοῖς εἰς
μι· τὸ ἔθηκα ἔδωκα ἧκα ἀντὶ τοῦ ἔ-
πεμψα· ταῦτα δὲ καὶ ἐπὶ τῶν ἄλλων
ἐγκλίσεων πλὴν τοῦ ὁριστικοῦ ἄχρηστα
πλὴν τοῦ ἔνεγκαι προστακτικοῦ καὶ
ἀπαρεμφάτῳ. Ἐπὶ πάντων τῶν εἰς μι
τὰ πρῶτα πρόσωπα τοῦ προστακτι-
κοῦ ἐνεστῶτος παρὰ τοῖς κοινοῖς ἀπὸ

τῶν περισπωμένων κανονίζονται. ἀπὸ
τοῦ ἐτίθει τίθει καὶ ἀπὸ τοῦ ἵστα ἵστα καὶ
ἀπὸ τοῦ ἐδίδου δίδου ὁμοίως καὶ ἀ-
πὸ τοῦ ἐζεύγνυ ζεύγνυ.

Ὁριστικὰ παθητικὰ καὶ μέσα ἐνεστῶτος
Τίθεμαι τίθεσαι καὶ ἰωνικῶς τίθη τίθε-
ται τιθέμεθον σθον σθον μεθα τίθεσθε
τίθενται. παρατατικὸς
Ἐτιθέμην θεσο καὶ ἐτίθου θετο ἐτιθέμε
θον σθον θέσθην ἐμεθα σθε εντο.

Παρακείμενος.

Τέθειμαι σαι ται ὡς τέτυμμαι τέτυπται
τὸ τρίτον τῶν πληθυντικῶν τέθεινται
καθαρὰν γὰρ ἔχει τὴν ἐσχάτην ὁ πα-
θητικὸς παρακείμενος.

Ὑπερσυντέλικος.

Ἐτεθείμην θεισο ὡς ἐτετύμμην πτο
τὸ τρίτον τῶν πληθυντικῶν ἐτέθειντο.

Ἀόριστος.

ἐτέθην ἐτέθης ὡς ἐτύφθην ἐτύφθης.

Ἀόριστος δεύτερος ἐν τοῖς παθητι-
κοῖς τῶν εἰς μι οὐκ ἔστι.

Μέλλων.

τεθήσομαι θήσῃ ὡς τυφθήσομαι σῃ. τε-
τύψομαι ψῃ. Μέσος ἀόριστος
ἐθηκάμην ἐθήκω ὡς ἐτυψάμην ψω ἄ-
χρηστος ὡς εἴρηται.

Μέσος ἀόριστος δεύτερος.

ἐθέμην ἔθεσο καὶ ἔθου ἔθετο ἐθέμεθον
σθον ἐσθην ἐμεθα ἐσθε ἔθεντο.

Μέλλων.

θήσομαι θήσῃ ὡς τύψομαι τύψῃ.

Προστακτικὰ παθητικὰ καὶ μέσα
τίθεσο καὶ τίθου τιθέσθω σθον θέσθων.
σθε σθωσαν. Ὑπερσυντέλικος.
τέθεισο θείσθω σθον εἴσθων σθε εἴσθωσαν.

Ἀόριστος.

τίθετι ἔτω ὡς τύφθητι ήτω.

Μέσος ἀόριστος δεύτερος

θῆκαι κάθω τύψαι τυψάθω ἄχρηστος

θέσο καὶ θοίαθω αθον αθων αθεωσαν

Εὐκτικὰ παθητικὰ καὶ μέσα.

Τιθείμην εῖο εῖτο είμεθον εῖσθον είσθην μεθα εῖσθε εῖντο.

Παρακείμενος.

τεθείμην εῖο εῖτο μεθον εῖσθον είσθην μεθα εῖσθε εῖντο.

Ἀόριστος.

τεθείην είς τυφθείην είης. μέλλων

Τιθησοίμην ήσοιο τυφθησοίμην σοιο.

Μετ' ὀλίγον μέλλων.

τεθείσοίμην είσοιο τετυψοίμην ψοιο.

Ἀόριστος.

θηκαίμην ήκαιο ἄχριστος τυψαίμην ψαιο

Ἀόριστος δεύτερος.

θείμην εῖο εῖτο είμεθον εῖσθον εῖσθον μεθα θεῖσθε εῖντο. Μέσος μέλλων.

θησοίμην σοιο τυψοίμην τύψοιο

Ὑποτακτικὰ παθητικὰ καὶ μέσα

Ἐὰν τιθῶμαι θῇ ῆται μεθον ῆσθον ῆσθον με-
θα ῆσθε ῶνται. παρακείμενος.
Ἐὰν τεθῶμαι τεθῇ ῆται ώμεθον ῆσθον.
ῆσθον ώμεθα ῆσθε ῶνται. ἀόριστος.
Ἐὰν τεθῶ ῇς ὡς ἐὰν τυφθῶ τυφθῇς

μέσος ἀόριστος.

Ἐὰν θήκωμαι κῃ ἐὰν τύψωμαι τύψῃ
ἄχρηστος. μέσος ἀόριστος δεύτερος
Ἐὰν θῶμαι θῇ ῆται μεθον ῆσθον ῆσθον
μεθα ῆσθε ῶνται.

Ἀπαρέμφατα παθητικὰ ἐνεστὼς

Τίθεσθε παρακείμενος τεθεῖσθαι
Ἀόριστος τεθεῖναι Μετ' ὀλίγον μέλ-
λων τεθείσεσθαι μέλλων πρῶτος
Τεθήσεσθαι μέσος ἀόριστος θήκασθαι ἄ-
χρηστος μέσος ἀόριστος δεύτερος.
Θέσθαι μέσος μέλλων θήσεσθαι

οἱ

μετοχὶ καὶ παθητικαὶ καὶ μέσα ἐμεσῶς
Ο τιθέμενος ὁ τετυμμένος ἀόριστος·
Ο τιθεὶς ὁ τυφθεὶς μέλλων
Ο τεθησόμενος· ὁ τυφθησόμενος
μετ' ὀλίγον μέλλων·
Ο τεθησόμενος ὁ τετυψόμενος μέσος
ἀόριστος Ο θηκάμενος ὁ τυψάμενος ἄ
χρηστος· μέσος ἀόριστος δεύτερος
Ο θέμενος μέσος μέλλων Ο θησόμενος ὁ
τυψόμενος·
Τίθεμαι τὸ δεύτερον τίθεσαι ὑκαινὼν
ὅσα τῶν παθητικῶν ἔχει ἐνεργητικὴν
μετοχὴν εἰς·σ·ὀξύτονον, τροπὴ τοῦ
κατὰ τὸ ρίτον τ·εἰς σ τὸ δεύτερον
ποιεῖ καὶ τίθη δεἰωνικῶς λέγεται
Ο παθητικὸς παρακείμενος τέθειμαι
ὃ συστέλλει παραλήγουσαν κατὰ τὴν ἀ
ναλογίαν τῶν εἰς μ·φυλάττων αὐτὴν
ὡς ἤδη κατὰ βοιωτοὺς ἐπὶ τοῦ ἐνεργη

Τικοῦ ἐνήλακται τοῦ τίθημι ὡς οἱ ἐνεργη-
τικοὶ ἀόριστοι πλὴν τοῦ ὁριστικοῦ οὕτω
καὶ οἱ πάντες ἄχρηστοι ὁμοίως καὶ τῶν
ἄλλων δὲ ὅσα τὸ χαρακτηριστικὸν τοῦ
μέλλοντος ἐνήλλαξαν σύμφωνον ἐνταῦ-
θα δὲ χάριν παραδείγματος, τοῦ σχη-
ματισμοῦ τῶν ἄλλων τίθενται

Ο παθητικὸς παρακείμενος, ἐὰν τεθῶ-
μαι καθαρὰν γὰρ ἔχει τὴν ἐσχάτην ὁ
παθητικὸς παρακείμενος τοῦ ὁριστικοῦ
περὶ τούτου δὲ προείρηται.

Συζυγία δευτέρα τῶν εἰς μι

Ὁριστικὰ ἐνεργητικὰ ἐνεστῶτ.

Ἵστημι ἵστης ἵστησι ἵστατον ἵστατον ἵστα-
μεν ἵστατε ἱστᾶσι καὶ ἱστάασιν ὡς τίθημι

Παρατατικὸς

Ἵστην της τη ἐτίθην ἐτίθης

παρακείμενος

Ἕστακα ἕστακας τέτυφα τέτυφας καὶ

μένος ἵσταα. Υπερσυντέλικος

Εστάκειν ἑστάκεις. ἐτετύφειν ἐτετύφεις

Αόριστος πρῶτος.

Εστησα ἔστησας ἔτυψα. Αόριστος

δεύτερος. Εστην στης στη. μέλ

λων. Στήσω στήσεις τύψω τύψεις.

Προστακτικὰ ἐνεργητικὰ ἐνεστῶς.

Ιστᾶθι ἱστάτω ἵστατον ἱστάτων ἵστατε

ἱστάτωσαν. παρατατικὸς

Εστακε ἑστακέτω ὡς τέτυφε.

Αόριστος.

Στῆσον στησάτω τύψον τυψάτω.

Αόριστος δεύτερος.

Στᾶθι στάτω ἔνιοι δὲ καὶ στῆθι στήτω λέ

γουσιν.

Ευκτικὰ ἐνεργητικὰ ἐνεστῶς.

Ισταίην ἱσταίης ἱσταίη ὡς τιθείην. παρα

κείμενος. Εστάκοιμι οις τετύφοιμι

Αόριστος. Στήσαιμι αις. καὶ αι

λικῶς στήσεια · ας · ε · Ἀόριστος · δεύτερος · σταίην ης · η · μέλλων στήσοιμι οις οι ·

Ὑποτακτικὰ ἐνεργητικὰ ἐνεστῶς · Ἐὰν ἱστῶ ἱστᾷς ἱστᾷ ἐὰν ἱστᾶτον τον ἐὰν ἱστῶμεν ᾶτε ἱστῶσι ·

Οἰκεῖον δὲ ὅμως τὸ α ἔχει ἀπὸ τοῦ περισπωμένου διὰ τὸ τὴν · β · καὶ · γ · συζυγίαν τῶν περισπωμένων ὁμοίως τοῖς ὁριστικοῖς κλίνειν τὰ ὑποτακτικά · παρακείμενος ·

Ἐὰν ἑστάκω κῃς ὡς ἐὰν τετύφω τύφῃς

Ἀόριστος ·

Ἐὰν στήσω σῃς ἐὰν τύψω ἐὰν τύψῃς ·

Ἀόριστος δεύτερος ·

Ἐὰν στῶ στῇς ὡς ἐὰν θῶ ἐὰν θῇς ·

Ἀπαρέμφατα ἐνεργητικὰ ἐνεστώς · ἱστάναι · παρακείμενος · ἑστακέναι · Ἀόριστος · στῆσαι · Ἀόρι

στος δεύτερος. Στῆναι μέλλων στήσειν

Μετοχαὶ ἐνεργητικαὶ ἐνεστῶς.

Ὁ ἱστὰς τοῦ ἱστάντος ἡ ἱστᾶσα τῆς ἱ-
στάσης. τὸ ἱστὰν τοῦ ἱστάντος.

Παρακείμενος.

Ὁ ἑστηκὼς ἡ ἑστηκυῖα. τὸ ἑστηκός.

Ἀόριστος πρῶτος. Ὁ στήσας ἡ στή-
σασα. τὸ στῆσαν. Ἀόριστος δεύτερος
Ὁ στὰς ἡ στᾶσα τὸ στάν.

Μέλλων. Ὁ στήσων ἡ στήσουσα τὸ
στῆσον. ὡς ὁ τύψων ἡ τύψασα τὸ ψον
Σημείωσαι ἐπὶ τοῦ παρατατικοῦ τὸ ἵ-
στην καὶ ἵστης καὶ ἵστη ἄχρηστα ὥσπερ
καὶ ἐπὶ τοῦ ἐτίθην ἐν χρήσει δὲ μᾶλλον
ἀπὸ τοῦ περισπωμένου ῥήματος ἵστων
ἵστας ἵστα τὰ δυϊκὰ καὶ πληθυντι-
κὰ εὔχρηστα τὸ δὲ ἵστασαν τὸ τρίτον
πρόσωπον τῶν πληθυντικῶν καὶ ἱστῶν
ἀπὸ τοῦ περισπωμένου λέγεται.

Ὁ παρακείμενος ἕστακα καὶ οὐχ ἕστη-
κα ἵνα μὴ συνεμπέσῃ τὸ ἀπὸ τοῦ ἕστη-
κω θέματος παρακειμένου λέγεται. δὲ
καὶ ἀττικῶς ἕσταα ἀας. τὸ τρίτον
τῶν πληθυντικῶν ἑστάασι καὶ ἑστᾶσι.
τοῦ δευτέρου ἀορίστου τὰ πληθυντικὰ ἕ-
στημεν καὶ οὐχ ἕσταμεν ἕστητε σαν. ὁ-
μοίως καὶ ἐπὶ τῶν δυϊκῶν ἀεὶ γὰρ ὁ δεύ-
τερος ἀόριστος φυλάττει τὴν παραλή-
γουσαν αὐτοῦ ἐν τοῖς πληθυντικοῖς οἷον
ἔστι καὶ τὸ εἴρωμεν ἐπὶ δὲ τοῦ ἔθεμεν
καὶ ἔδομεν. Ἐπεὶ τὰ ἑνικὰ αὐτῶν οὐ-
κ ἦν ἐν χρήσει ὧν τὴν λήγουσαν ὤφειλεν ἐπὶ
τῆς παραληγούσης ἔχειν, διὰ τοῦτο
συνεστάλη κατὰ ἀναλογίαν τοῦ παρατα-
τικοῦ κλινόμενα κατὰ τοῦτον τὸν λό-
γον καὶ τὸ ἦν ἔμεν ἀντὶ τοῦ ἐπέμψα-
μεν. Ἐπὶ τοῦ προστακτικοῦ ἐνε-
στῶτος τὸ ἵσταθι ἄχρηστον ἐν χρήσει δὲ

τὸ ἵστα ἀπὸ τοῦ περισπωμένου· ὥσ-
περ ἐπὶ τοῦ τίθη, τὰ λοιπὰ δὲ πρόσω-
πα ἐν χρήσει· καὶ ὅμοια τοῖς τῶν περι-
σπωμένων· ὥσπερ ἀπὸ τοῦ ἵστακα πα-
ρακειμένου· τὸ προστακτικὸν ἵστα-
κε γίνεται οὕτω καὶ ἐπὶ τοῦ ἵστα· ἕ-
σταε· προστακτικὸν τὸ τρίτον ἑστα-
έτω ἑστάτω ὁμοίως καὶ ἐπὶ τοῦ ἀπα-
ρεμφάτου οὐ μόνον ἑστακέναι ἀλλὰ
καὶ ἑστάναι ἑστάτω· καὶ ἐπὶ τῆς με-
τοχῆς δὲ ὁ ἑσταὼς ὁ ἑστώς·

Ἀόριστος δεύτερος.

Τὸ στάθι στάτω ἐπὶ τοῦ προστακτικοῦ δευ-
τέρου ἀορίστου· ἔνιοι στῆθι στήτω λέγουσιν.
Ὁ εὐκτικὸς ἀόριστος κοινῶς μὲν στή-
σαιμι στήσαις· αἰολικῶς δὲ στήσεια·
στήσειας· τοῦτο δὲ καὶ ἐπὶ τῶν βαρυ-
τόνων· καὶ περισπωμένων τύψεια· τύ-
ψειας καὶ ποιήσεια ποιήσειας·

Τοῦ ὑποτακτικοῦ ἐνεστῶτος. τὸ δεύ-
τερον πρόσωπον ἐὰν ἱστᾶ. τὸ τρίτον ἐὰν
ἱστᾶ. καὶ γὰρ ἐν τοῖς εἰς μι τὰ δεύτερα
καὶ τρίτα πρόσωπα ὑποτακτικὰ τῆς
μὲν πρώτης συζυγίας διὰ τοῦ .η.
ἐκφέρεται τῆς δὲ δευτέρας διὰ τοῦ
.α. τῆς δὲ τρίτης διὰ τοῦ .ω. με-
γάλου.

Ὁριστικὰ παθητικὰ καὶ μέσα.

Ἐνεστώς.

Ἵσταμαι ἵστασαι. καὶ ἰωνικῶς ἵστῃ ἵστα-
ται ὡς τίθεμαι τίθεσαι καὶ τίθῃ τίθεται

Παρατατικός.

Ἱστάμην ἵστασο καὶ ἵστω ἵστατο ὡς ἐτι-
θέμην ἐτίθεσο καὶ ἐτίθου ἐτίθετο.

Παρακείμενος..

Ἕσταμαι ἕστασαι. ὡς τέτυμμαι ψαι.

Ὑπερσυντέλικος.

Ἑστάμην ἕστασο. ὡς ἐτετύμμην τυψο

πι

Ἀόριστος.

Ἐστάθην ἐστάθης. ἐτύφθην ἐτύφθης.

Μέλλων.

Σταθήσομαι σταθήσῃ. Τυφθήσομαι τυφ θήσῃ. μετὸ ὀλίγον μέλλων.

Ἑστάσομαι ἑστάσῃ. Τετύψομαι τετύψῃ.

μέσος ἀόριστος.

Ἐστάμην ἔστησω. ἐτυψάμην ἐτύψω.

Ὁ μέσος δεύτερος ἀόριστος ἐπὶ τοῦ ἵστημι ἐξέλιπεν. μέσος μέλλων.

Στήσομαι στήσῃ. Τύψομαι τύψῃ.

Προστακτικὰ παθητικὰ καὶ

μέσα ἐνεστὼς.

Ἵστασο καὶ ἵστω ἱστάσθω. τίθεσο καὶ. [illegible]

παρακείμενος.

Ἕστασο ἑστάσθω. τέτυψο τετύφθω.

Ἀόριστος.

Στάθητι σταθήτω. Τύφθητι τυφθήτω.

μέσος ἀόριστος.

Στήσαι στήσάσθω · τύψαι · άσθω ·

Εὐκτικὰ παθητικὰ καὶ μέσα ἐνεστῶς

Ἱσταίμην ἵσταιο · αἶτο · παρακείμενος ·

Ἑσταίμην ἑσταῖο · τεθείμην τεθεῖο ·

Ἀόριστος ·

Σταθείην σταθείης · τυφθείην τυφθείης ·

μέλλων ·

σταθησοίμην σταθήσοιο · τυφθησοίμην τυφ θήσοιο · μετ' ὀλίγον μέλλων ·

Ἑστασοίμην ἑστάσοιο · τετυψοίμην · οιο ·

Μέσος ἀόριστος ·

στησαίμην στήσαιο · τυψαίμην · αιο ·

μέσος μέλλων ·

στησοίμην στήσοιο · τυψοίμην · οιο ·

Ὑποτακτικὰ παθητικὰ καὶ

μέσα ἐνεστώς ·

Ἐὰν ἱστῶμαι · στῆ · ἐὰν τιθῶμαι · θῆ ·

Παρακείμενος ·

Ἐὰν ἑστῶμαι · ἑστῆ · ἐὰν τεθῶμαι τεθῆ ·

Ἀόριστος.

Ἐὰν σταθῶ σταθῇς. ἐὰν τυφθῶ τυφθῇς.

Μέσος ἀόριστος.

Ἐὰν στήσομαι στήσῃ. ἐὰν τύψωμαι τύψῃ.

Ἀπαρέμφατα παθητικὰ καὶ
μέσα ἐνεστὼς.

Ἵστασθαι. παρακείμενος ἑστᾶσθαι
ἀόριστος πρῶτος σταθῆναι. μέλλων
σταθήσεσθαι. μετ' ὀλίγον μέλλων
ἑστάσεσθαι. μέσος ἀόριστος δεύτερος
στήσασθαι. μέσος μέλλων στήσεσθαι

Μετοχαὶ παθητικαί.

Ἐνεστὼς.

Ὁ ἱστάμενος ἡ ἱσταμένη τὸ ἱστάμενον
ὁ τιθέμενος. παρακείμενος. ὁ ἑστά
μενος ἡ ἑσταμένη τὸ ἑστάμενον
ὁ τετυμμένος ἀόριστος ὁ σταθείς.
ὁ τυφθείς μέλλων ὁ σταθησόμενος.
ὁ τυφθησόμενος. μετ' ὀλίγον μέλλων

Ὁ ἑστασόμενος. ὁ τετυψόμενος. μέσος

Ἀόριστος.

Ὁ στησάμενος. ὁ τυψάμενος

Μέσος μέλλων.

Ὁ στησόμενος. ὁ τυψόμενος.

Σημείωσαι ὅτι ὁ μέσος δεύτερος ἀόρι-
στος ἐπὶ τοῦ ἵστημι ἐξέλοιπεν· δύναιτο
δ' ἂν κατὰ τὴν ἀκολουθίαν τοῦ σχημα-
τισμοῦ ἀπὸ τοῦ ἔστην ἐνεργητικοῦ ἐστά-
μην ἔστασο λέγεσθαι ὥσπερ καὶ ἀπὸ
τοῦ ἔθην ἔθεσο καὶ ἔθου ἐγένετο· ὁμοίως καὶ
ἐπὶ τοῦ προστακτικοῦ στῶ στάσθω κατὰ
μόνον τὸν σχηματισμὸν ἂν λέγοιτο κα-
τὰ τὸν κανόνα τὸν λέγοντα· ὁ μέσος
δεύτερος ἀόριστος τοῦ δευτέρου προ-
σώπου τὴν ἐν ἀρχαῖς κλητικὴν ὀκτα-
σὶν ἀποβαλὼν καὶ καταβιβάσας τὸν
τόνον τὸν ἴδιον προστακτικὸν ποιεῖ·
ἐλαβόμην ἐλάβου λαβοῦ· ἐθέμην ἔθου θοῦ·

ἐδόμην ἔδου. δοῦ. οὕτω καὶ ἱστάμην ἵστω στῶ. καὶ ἐπὶ τοῦ εὐκτικοῦ δὲ ἐνεστῶτος. ἱσταίμην ἵσταιο ἵσταιτο ἐπὶ δὲ τοῦ παρακειμένου ἑσταίμην. ἕσταιο κατὰ τὸν σχηματισμὸν, ὡς θείμην θεῖο λέγοιτο καὶ ἐπὶ τοῦ ὑποτακτικοῦ δὲ ἐὰν στῶμαι ἐὰν στῇ. ἐὰν θῶμαι θῇ καὶ ἐπὶ τοῦ ἀπαρεμφάτου στάσθαι. ὡς θέσθαι καὶ ἐπὶ τῆς μετοχῆς στάμενος ὡς θέμενος. ταῦτα δὲ ἄχρηστα ἐπὶ πασῶν γὰρ τῶν ἐγκλίσεων ἐπὶ τοῦ ἵστημι ὁ μέσος δεύτερος ἀόριστος ἄχρηστος ὡς εἴρηται. ὁ δὲ σχηματισμὸς αὐτοῦ κατὰ τὰ εἰρημένα ἂν γένοιτο.

Ὁ εὐκτικὸς ἐνεστὼς ἱσταίμην τὸ δεύτερον ἵσταιο προπαροξυτόνως καὶ τὸ τρίτον ὁμοίως ἵσταιτο εὑρίσκεται. γραφόμενον ἐπὶ δὲ τοῦ τιθείμην εὐκτι-

κοῦ ἐνεστῶτος· τιθεὶς καὶ τιθεῖτο προ-
περισπωμένως λέγουσι καὶ ἐπὶ τοῦ πα-
ρακειμένου δὲ ἑστᾶιμην ἕσταιο, προπε-
ρισπωμένως λέγεται.

Συζυγία τρίτη τῶν εἰς μι
ὁριστικὰ ἐνεργητικά.

Ἐνεστώς.

Δίδωμι· δίδως δίδωσι δίδοτον δί-
δοτον δίδομεν δίδοτε διδοῦσι καὶ ἰ-
ωνικῶς διδόασιν ἐν χρήσει.

Παρατατικός.

Ἐδίδων ἐδίδως ἐδίδω δότον ἐδιδό-
την ἐδίδομεν δοτε δοσαν· ὡς ἐτίθην

Παρακείμενος.

Δέδωκα κατ' ὡς τέτυφα τέτυφας.

Ὑπερσυντέλικος.

Ἐδεδώκειν ἐδεδώκεις ὡς ἐτετύφειν φεις

Ἀόριστος πρῶτος.

Ἔδωκα κατ' ὡς ἔτυψα ἔτυψας.

Ἀόριστος δεύτερος.

ἔδων ἔδως ἔδω τὸν ἐδότην μεν τε σαν

Προστακτικὰ ἐνεργητικὰ ἐνεστῶς.

Δίδοθι διδότω δίδοτον διδότων δίδοτε
διδότωσαν. Παρακείμενος.
δέδωκε κέτω ὡς τέτυφε φέτω.

Ἀόριστος πρῶτος.

δῶκον κάτω τύψον ψάτω ἄχρηστος

Ἀόριστος δεύτερος.

δόθι καὶ κατὰ συγκοπὴν δὸς δότω
δότον των τε τωσαν. ὡς θέθι καὶ κα
τὰ συγκοπὴν θὲς θέτω.

Εὐκτικὰ ἐνεργητικὰ ἐνεστῶτος.

Διδοίην διδοίης. τιθείην θείης.

Παρακείμενος.

δεδώκοιμι δεδώκοις τετύφοιμι.

Ἀόριστος.

δώκαιμι δώκαις. τύψαιμι τύψαις

Ἀόριστος.

Δοίην δοίης δοίη· δοίητον δοιήτην· δοίημεν δοίη
τε· δοίησαν καὶ δεῖεν· θείην θείης·

Μέλλων·

δώσοιμι δώσοις· τύψοιμι τύψοις·

Ὑποτακτικὰ ἐνεργητικὰ ἐνεστῶτος·

Ἐὰν διδῶ δῷς δῷ δῶτον τὸν δῶ
μεν δῶτε δῶσι· ἐὰν τιθῶ τιθῇς· ἢ ἐὰν
διδῶ διδοῖς ἀπὸ τοῦ περισπωμένου
διὰ διφθόγγου ὁμοίως τοῖς ὁριστικοῖς·

παρακείμενος·

Ἐὰν δεδώκω κῃς ἐὰν τετύφω τετύφῃς
Ἀόριστος Ἐὰν δώκω δώκῃς· ἐὰν
τύψω ψῃς Ἀόριστος δεύτερος
Ἐὰν δῶ δῷς δῷ δῶτον δῶτον δῶμεν δῶτε·
δῶσιν ἐὰν θῶ θῇς·

Ἀπαρέμφατα ἐνεργητικὰ ἐνεστῶτος
Διδόναι παρακείμενος· δεδω
κέναι· Ἀόριστος δῶκαι ἄχρηστος
Ἀόριστος δεύτερος δοῦναι

μέλλων δώσειν.

Μετοχαὶ ἐνεργητικαὶ ἐνεστῶτος.

Ὁ διδοὺς τοῦ διδόντος Ἡ διδοῦσα τῆς διδούσης
τὸ διδὸν τοῦ διδόντος.

παρακείμενος.

Ὁ δεδωκὼς τοῦ δεδωκότος. ὁ τετυφὼς τετυφό
τος. Ἀόριστος πρῶτος.

Ὁ δώκας τοῦ δώκαντος. ὁ τύψας τοῦ
τύψαντος ἄχρηστος.

Ἀόριστος δεύτερος.

Ὁ δοὺς τοῦ δόντος Ἡ δοῦσα τῆς δού-
σης τὸ δὸν τοῦ δόντος. μέλλων
δεύτερος Ὁ δώσων τοῦ δώσοντος. ὁ τύ-
ψων τοῦ τύψοντος.

Σημείωσαι ὅτι τῆς γ' τῆς συζυγίας τῶν
εἰς μι οἱ ἐνεστῶτες, εἰ καὶ εἰσὶν ἀλλοῦ χ
εὕρηνται ἐν χρήσει πλὴν τοῦ δίδωμι.
ἐπὶ τοῦ παρατατικοῦ, τὰ ἑνικὰ τὸ
ἐδίδων καὶ ἐδίδως καὶ ἐδίδω ἄχρηστα

τα ὥσπερ ἐπὶ τοῦ ἐτίθην καὶ ἵστην ἐχρή
σει δὲ μᾶλλον κἀν ταῦθα, τὰ ἀπὸ τοῦ
περισπωμένου θέματος τὸ ἐδίδουν καὶ
ἐδίδους καὶ ἐδίδου τὰ δυϊκὰ καὶ τὰ
πληθυντικὰ ἄχρηστα τὸ δὲ τρίτον τῶν
πληθυντικῶν καὶ ἐδίδοσαν καὶ ἐδί
δουν. Ὁ ἀόριστος ἔδωσα ὤφειλεν εἶ
ναι ἵν᾽ ἔχῃ τὸ σύμφωνον τοῦ μέλλοντος
ἀλλὰ σεσημείωται ὡς εἴρηται.

Τοῦ δευτέρου ἀορίστου τὰ ἑνικὰ τὸ
ἔδων καὶ ἔδως καὶ ἔδω δηλονότι ἄ
χρηστα ὥσπερ ἐπὶ τοῦ ἔθην τὰ πληθυν
τικὰ δὲ εὔχρηστα.

Τοῦ προστακτικοῦ ἐνεστῶτος τὸ δεύ
τερον πρόσωπον τὸ δίδοθι ἄχρηστον
δίδου δὲ εὔχρηστον ἀπὸ τοῦ περισπω
μένου τὰ λοιπὰ δὲ πρόσωπα ἐν χρήσει
ὥσπερ ἐπὶ τοῦ τίθεθι καὶ ἵσταθι ὁμοί
ως εἴρηται. Ὁ προστακτικὸς ἀόρισ

τος τοῦ δίδωμι ἄχρηστος καὶ ἐπὶ
τῶν ἄλλων δὲ ἐγκλίσεων ἄχρηστος ὥσ
περ καὶ ἐπὶ τοῦ τίθημι καὶ ἡ αἰτία δὲ
ἐπ᾽ ἐκείνου εἴρηται.

Τοῦ διδοίην εὐκτικοῦ ἐνεστῶτος τὰ δυ
ικὰ καὶ τὰ πληθυντικὰ βέλτιον δι-
δοῖτον διδοίτην καὶ διδοῖμεν ἀπὸ πε
ρισπωμένου λέγειν καὶ τοῦ διδοίην εὐκτι
κοῦ δευτέρου ἀορίστου τὰ πληθυντι
κὰ καὶ μάλιστα τὸ τρίτον πρόσωπον
τῶν πληθυντικῶν βέλτιον ἂν δοῖεν
ἀπὸ τοῦ περισπωμένου λέγοιτο.

Ὁριστικὰ παθητικὰ καὶ μέσα
ἐνεστώς.

Δίδομαι δίδοσαι δίδοται. τίθεμαι τί
θεσαι τίθεται καὶ τὰ λοιπά

παρατατικός

Ἐδιδόμην οσο καὶ δου δοτο ἐτιθέ-
μην ἐτίθεσο καὶ ἐτίθου ἐτίθετο

παρακείμενος·

δέδομαι οσαι· τέτυμμαι τέτυψαι·

Υπερσυντέλικος·

Εδεδόμην οσο· ἐτετύμμην ἐτέτυψο

Αόριστος·

Εδόθην όθης· ἐτύφθην ἐτύφθης·

Μέλλων·

Δοθήσομαι θήσῃ· τυφθήσομαι τυφθή
σῃ

Μετ' ὀλίγον μέλλων·

δεδόσομαι όσῃ· ὡς τετύψομαι· ψῃ·

μέσος ἀόριστος·

Εδωκάμην κω· ἐτυψάμην ἐτύψω· ἄ
χρηστος· μέσος ἀόριστος δεύτερος·

Εδόμην οσο καὶ ἔδου· ἐθέμην ἔθεσο
καὶ ἔθου· μέσος μέλλων

Δώσομαι ώσῃ· τύψομαι τύψῃ·

προστακτικὰ παθητικὰ ἐνεστῶς
δίδοσο διδου σθω ὡς τίθεσο παρακεί
μενος δέδοσο σθω Αόριστος· δόθητι

ὡς τυφθῆτι τυφθήτω.

Μέσος ἀόριστος. Δῶκαι κάσθω.

μέσος ἀόριστος δεύτερος.

Δόσο ἄχρηστον, εὔχρηστον δὲ δοῦ, δόσθω ὡς θοῦ θέσθω.

Εὐκτικὰ παθητικὰ καὶ μέσα ἐνεστῶτος

Διδοίμην διδοῖο διδοῖτο τιθείμην θεῖο.

Παρακείμενος.

Δεδοίμην δεδοῖο τεθείμην.

Ἀόριστος. Δοθείην θείης τυφθείην

μέλλων δοθησοίμην θήσοιο τυφθησοίμην σοιο. μετ' ὀλίγον μέλλων.

Δεδοσοίμην δόσοιο τετυψοίμην ψοιο

μέσος ἀόριστος. Δωκαίμην δώκαιο τυψαίμην τύψαιο ἄχρηστος.

μέσος ἀόριστος δεύτερος.

Δοίμην δοῖο θείμην θεῖο

μέσος μέλλων. Δωσοίμην δώσοιο

Ὑποτακτικὰ παθητικὰ καὶ μέσα.

ἐὰν διδῶμαι ἐὰν διδῶ ἐὰν διδῶται
μεθον ῶσθον ῶσθον μεθα ῶσθε ῶνται.

Παρακείμενος

ἐὰν δεδῶμαι ἐὰν δεδῶ δῶται καὶ τὰ
λοιπὰ ὁμοίως.

Ἀόριστος ἐὰν δοθῶ ῇς ῇ. ἐὰν τυφ
θῶ τυφθῇς. Μέσος ἀόριστος
ἐὰν δώκωμαι κώκῃ ἐὰν τύψωμαι.
μέσος ἀόριστος δεύτερος.
ἐὰν δῶμαι ἐὰν δῶ ῶται.

Ἀπαρέμφατα παθητικὰ καὶ μέσα

Ἐνεστώς δίδοσθαι.
Παρακείμενος δεδόσθαι
Ἀόριστος δοθῆναι μέλλων.
δοθήσεσθαι μετ' ὀλίγον μέλλων
δεδόσεσθαι. μέσος ἀόριστος
δώκασθαι ἄχρηστος μέσος ἀόρι-
στος δεύτερος. δόσθαι
μέσος μέλλων δώσεσθαι.

Μετοχαὶ παθητικαὶ καὶ μέσαι ἐνεστώς
Ὁ διδόμενος Ἡ διδομένη τὸ δι-
δόμενον. Παρακείμενος.
Ὁ δεδομένος. ὡς ὁ τετυμμένος.
Ἀόριστος. Ὁ δοθεὶς ὡς ὁ τυφθείς.
μέλλων Ὁ δοθησόμενος ὡς ὁ τετυ-
ψόμενος. μετ᾽ ὀλίγον μέλλων.
Ὁ δεδοσόμενος ὡς ὁ τετυψόμενος.
μέσος ἀόριστος Ὁ δωκάμενος ὡς ὁ
τυψάμενος ἄχρηστος. μέσος ἀόρι-
στος δεύτερος. Ὁ δόμενος ὡς ὁ θέμε-
νος. μέσος μέλλων. Ὁ δωσόμε-
νος ὡς ὁ τυψόμενος.
Ὁ μέσος ἀόριστος τοῦ ἔδωκα ὥσπερ καὶ
τοῦ ἔθηκα ἄχρηστος καὶ γὰρ οὐδὲ τὸ
ἔδωκα ὥσπερ οὐδὲ τὸ ἔθηκα οὐδαμῶς
περαιτέρω πρόεισι. καὶ ἡ αἰτία ἀπ᾽ ἐ-
κείνου εἴρηται. χάριν δὲ παραδείγμα-
τος. μόνον τοῦ σχηματισμοῦ τῶν

ἄλλων ἐπὶ πασῶν τῶν ἐγκλίσεων ἐνταῦθα τίθενται.

Ἐπὶ τοῦ προστακτικοῦ παθητικοῦ ἐνεστῶτος ἐν δευτέρῳ προσώπῳ βέλτιον τὸ δίδοσο ἵνα μὴ συνεμπέσῃ τῷ ἰδίῳ ἐνεργητικῷ.

Ὁ μέσος δεύτερος ἀόριστος τοῦ δόσθω ἀφ᾽ οὗ ἀπὸ τοῦ ἀποδόσθω τοῦ διδοίμην εὐκτικοῦ ἐνεστῶτος τὰ τρίτα πρόσωπα οἱ μὲν δίδοιο καὶ δίδοιτο προπαροξυτόνως οἱ δὲ διδοῖο καὶ οἶτο· γράφουσιν οἱ μὲν κατὰ τὴν ἀκολουθίαν τῶν βαρυτόνων, οἱ δὲ κατὰ τὴν ἀκολουθίαν τῶν περισπωμένων δηλονότι ὁμοίως δὲ καὶ ἐπὶ τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν. Τοῦ δοθείην παθητικοῦ ἀορίστου ἐπὶ τοῦ πληθυντικοῦ τρίτου προσώπου μᾶλλον ἐν χρήσει τὸ δοθεῖεν τοῦ ἐὰν διδῶμαι ὑποτακτικοῦ πα

θητικοῦ ἐνεστῶτος τὸ δεύτερον πρόσωπον οἱ πλείους μὲν ἐὰν διὰ ῶ λέγουσιν ἵνα ὁ μόφωνον ᾖ τῷ τρίτῳ προσώπῳ, τοῦ ἰδίου ἐνεργητικοῦ ἢ ἵνα ἀπὸ τοῦ τρίτου γίνηται ἀποκοπῇ τῆς τελευταίας συλλαβῆς· τινὲς δὲ διὰ τῆς ·ο· καὶ ·ι· διφθόγγου λέγουσιν ἐὰν δίδοι ἴσως ἀπὸ τοῦ περισπωμένου κατὰ μίμησιν τοῦ ἐὰν χρυσόωμαι ῶμαι· χρυσόη χρυσοῖ· ἐκεῖνο γὰρ διὰ τοῦ ·ο· καὶ ·ι· διφθόγγου γράφεται καὶ ἐπὶ τοῦ ἐνεργητικοῦ ἐὰν χρυσόῃς ἐὰν χρυσοῖς ἐὰν χρυσόη χρυσοῖ τὸ περισπώμενον διὰ τῆς ·ο· καὶ ·ι· διφθόγγου γράφεται ἡ δευτέρα γὰρ καὶ ἡ τρίτη συζυγία τῶν περισπωμένων, ὅμοιος τοῖς ὁριστικοῖς κλίνεται τὰ ὑποτακτικά· τὸ τρίτον δὲ ἐὰν διδῶται καὶ τὰ λοιπὰ πρῶτα πρόσωπα αὐτοῦ, διὰ τοῦ ·ω· μεγάλου·

Σημείωσαι δὲ ἁπλῶς ἐπὶ πάντων τῶν
ῥημάτων ὅτι ἐπὶ τῶν ἄλλων πασῶν
ἐγκλίσεων πλὴν τῶν ὁριστικῶν ὁ ἐνεστὼς
καὶ ὁ παρατατικὸς συνίασι καὶ ὁ πα-
ρακείμενος καὶ ὁ ὑπερσυντέλικος ὥς
τε ὁ γραφόμενος ἐπὶ πάντων ἐνεστὼς αὐ-
τὸς καὶ παρατατικὸς νοεῖται. καὶ ὁ
γραφόμενος παρακείμενος ὁ αὐτὸς καὶ
ὑπερσυντέλικος ἐν τοῖς παθητικοῖς
ὁ αὐτὸς καὶ παρακείμενος. καλεῖται
δὲ ἀφοῦ παράγεται.

Συζυγία τετάρτη τῶν εἰς
μι. Ὁριστικὰ ἐνεργητι-
κά. Ἐνεστώς.

Ζεύγνυμι ζεύγνυς ζεύγνυσι νυτον τον
γνυμεν νυτε γνυσι ζευγνύασι δὲ οὐ λέγε-
ται ἀλλὰ ζευγνύουσι.

Παρατατικός.

Ἐζεύγνυν γνυς γνυ. ἐζεύγνυτον νύτην.

ἐζεύγνυμεν. νυτε νυσαν. οἱ δὲ ἄλλοι χρόνοι πλὴν τοῦ ἐνεστῶτος καὶ τοῦ παρατατικοῦ, ἐπὶ τῆς τετάρτης συζυγίας τῶν εἰς. μι. ἔξελιπον ἐπί τε τῶν ἐνεργητικῶν καὶ ἐπὶ τῶν παθητικῶν.

Προστακτικὰ ἐνεργητικὰ ἐνεστῶς.

Ζάγνυθι καὶ ζεύγνυ. νύτω. ζεύγνυτον νύτων. νυτε. νύτωσαν.

Τὰ εὐκτικὰ καὶ ὑποτακτικὰ, καθόλου ἐπὶ τῆς τετάρτης συζυγίας τῶν εἰς μι. ἐξέλιπον ἐπί τε τῶν ἐνεργητικῶν καὶ τῶν παθητικῶν ὅμως δὲ οἱ ἐνεστῶτες αὐτῶν, δύνανται ἀπὸ τοῦ βαρυτόνου σχηματίζεσθαι.

Ἀπαρέμφατα ἐνεστῶς.

Ζευγνύναι οἱ ἄλλοι χρόνοι ἐξέλιπον.

Μετοχικὰ ἐνεργητικὰ ἐνεστῶς.

Ὁ ἐνεστῶς καὶ παρατατικὸς ὡς εἴρηται Ὁ ζαγνὺς τοῦ ζαγνύντος. Ἡ ζαγνύ

σα τῆς ζώννύσης. τὸ ζωγνὺν τοῦ ζωγνύντος. λέγεται δὲ ἀπὸ τοῦ βαρυτόνου τὸ ζωννύον τοῦ ζωννύοντος.

Ὁριστικὰ παθητικὰ ἐνεστώς.

Ζεύγνυμαι νυσαι. νυται μεθον. νυαθον νυαθον. νύμεθα. νυαθε. νυνται.

Παρατατικὸς.

Ἐζευγνύμην γνυσο γνυτο μεθον νυαθον γνύαθην μεθα γνυαθε γνυντο.

Προστακτικὰ.

Ζεύγνυσο ζευγνύαθω αθον γνύαθων αθε. ζευγνύαθωσαν.

Ἀπαρέμφατα ἐνεστώς ζεύγνυαθε. Μετοχικὰ παθητικὰ ἐνεστώς ὁ ζευγνύμενος.

Σημείωσαι. ὅτι ἐπὶ τοῦ γ´ τοῦ προσώπου τῶν πληθυντικῶν τοῦ ὁριστικοῦ ἐνεργητικοῦ ἐνεστῶτος τὸ ζεύγνυσι καὶ ζευγνύασιν ἐξέλιπεν ἐν χρήσει δὲ ἀπὸ

τοῦ βαρυτόνου. τὸ ζεύγνυσιν ὁμοίως καὶ τὸ δείκνυσι καὶ τἄλλα τῶν εἰς μι. τὰ παραλήγομενα τῷ. υ. ψιλῷ τῇ δοτικῇ τῶν πληθυντικῶν τῆς μετοχῆς τοῦ βαρυτόνου ῥήματος ὁμοφωνεῖ

Η τετάρτη συζυγία τῶν εἰς. μι. ἄχρι τοῦ παρατατικοῦ κινεῖται ἔν τε τοῖς ἐνεργητικοῖς καὶ ἐν τοῖς παθητικοῖς καὶ εὐκτικὰ δὲ οὐδαμῶς ἔχουσιν· ἵνα μὴ εὑρεθῇ ἡ. η. δίφθογγος ἡ διὰ τοῦ. υ. ψιλοῦ καὶ. ι. πρὸ τοῦ. μ. καθόλου γὰρ ἡ τοιαύτη δίφθογγος οὐ κέβελ συμφώνῳ ἐπακολουθεῖν. ἀλλὰ φωνήεντι ἀεί. ἀλλ᾽ οὐ δὲ ὑποτακτικὰ οὐδαμῶς ἔχουσιν.

Ἐπᾶσιν ἁπλῶς τοῖς εἰς. μι. ῥήμασιν εἴ τινα ἐπὶ τῆς χρήσεως φαίνοιντο ἑτέρως ἔχοντα ἀπὸ τῶν ἰδίων βαρυτόνων ἢ περισπωμένων κανονίζονται οἷον ἀπὸ

τοῦ τιθέω καὶ τιθῶ καὶ ἀπὸ τοῦ ἱστάω καὶ ἱ
στῶ· τοῦτο δὲ καὶ ἱστάνω καὶ στήκω καὶ ἑστή
κω λέγεται καὶ ἀπὸ τοῦ διδόω καὶ δι
δῶ καὶ ἀπὸ τοῦ ζευγνύω· ἐκεῖνα δὲ χω
ρὶς ἀναδιπλασιασμῶν πρότερον τυγ
χάνει δηλονότι θῶ καὶ στῶ· καὶ δῶ καὶ
ἐπὶ τῶν ἄλλων ὁμοίως. εἴ τινα γοῦν φαί
νοιντο ἐπὶ τῆς χρήσεως ἑτέρως ἔχοντα
ἀφ' ἑτέρων τούτων κανονίζονται θεμά-
των· τοῦτο δὲ καὶ ἐπὶ τῶν βαρυτόνων
συμβαίνει· καὶ πειρατέον ἕκαστον εἰς
τὸ ἴδιον θέμα ἀνάγειν· κἂν ἄχρηστον
τοῦτο ᾖ· ἤγε μὴν ἀκολουθία τῶν εἰς
μι ῥημάτων ἀκριβῶς αὕτη τυγχάνει·
Ἐν πᾶσιν ἁπλῶς τοῖς ῥήμασι καθό-
λου τὰ δεύτερα πρόσωπα τῶν προσ
τακτικῶν βραχυκαταληκτοῦσι·
Καὶ καθόλου τὰ τρίτα πρόσωπα τῶν
προστακτικῶν διὰ τοῦ ·ω· μεγάλου

γράφεται.
Καὶ πᾶν εὐκτικὸν διφθόγγῳ παραλή-
γεται. Καὶ πᾶν ὑποτακτικὸν· ἐν
μὲν τοῖς ἐνεργητικοῖς τὸ η· θέλει ἔ-
χειν ἢ τὸ ω· μέγα ἐν τῇ ληγούσῃ ἐν δὲ
τοῖς παθητικοῖς καὶ ἐν τῇ παραληγού-
σῃ. Καὶ πᾶν ἀπαρέμφατον ἢ
κυρίως δίφθογγον ἢ καταχρηστικῶς ἔ-
χει κατὰ τὴν τελευταίαν συλλαβήν· οἷον
τύπτειν γελᾶν πλὴν τοῦ ζῆν πεινῆν δι-
ψῆν οὐρῆν. Καὶ ὁ παρακείμε-
νος οὐδέποτε ἀποβάλλει τὴν αὔξησιν
αὐτοῦ. Καὶ ἀπὸ βαρυτόνων θε-
μάτων ἀεὶ βραχεῖα παραλήγεται ὁ δεύ-
τερος ἀόριστος. Καὶ αἱ μετοχαὶ
καὶ τὰ μετοχικὰ ὀνόματα τὰς αὐτὰς
ἔχουσιν ὀρθὰς καὶ κλητικάς.
Καὶ τὰ παραλήγοντα φωνήεντα ἐπὶ
τῶν ἐντελῶν τῶν περισπωμένων συζυ-

γιῶν ἀεὶ βραχέα ἐστί. Καὶ τὸ. ε. κατὰ
τοὺς παρῳχημένους προερχόμενον καὶ
ἀποπίπτον, ψιλοῦται. εἰ δὲ προέρχε
ται μέν. οὐκ ἀποπίπτει δὲ ὅπερ ἐστὶ τοῦ
παρακειμένου τῶν εἰς μι ἐνίοτε συμβαί
νει, τὸ πνεῦμα τοῦ ἐνεστῶτος ἔχει· οἷον ἵ
στημι στήσω ἕστακα.

Περὶ Ἀντωνυμίας.

Πόσα εἴδη τῶν ἀντωνυμιῶν. πέντε
πρωτότυποι. κτητικαί. δεικτικαί
ἐπιταγματικαί. καὶ σύνθετοι.
Πόσαι πρωτότυποι ἀντωνυμίαι; τρεῖς.
ἐγώ. σύ. οὗ. πῶς κλίνεται ἡ ἐγὼ ἀντωνυ
μία. οὕτως. ἐγώ. ἐμοῦ. ἐμοί. ἐμέ. κλη
τικὰς αἱ πρωτότυποι ἀντωνυμίαι οὐκ
ἔχουσιν ἡ εὐθεῖα καὶ αἰτιατικὴ τῶν
δυϊκῶν, νῶϊ. καὶ νώ. ἡ γενικὴ καὶ δοτι
κὴ τῶν δυϊκῶν, νῶϊν καὶ νῷν. τὰ πληθυν

τικά· ἡμεῖς ἡμῶν ἡμῖν ἡμᾶς.
πῶς κλίνεται ἡ σὺ ἀντωνυμία οὕτως·
σὺ· σοῦ σοὶ· σέ· ἡ εὐθεῖα τῶν δυικῶν
σφῶϊ· καὶ σφῶ ἡ γενικὴ καὶ δοτικὴ τῶν
δυϊκῶν σφῶϊν· καὶ σφῶν· τὰ πληθυν
τικὰ ὑμεῖς ὑμῶν ὑμῖν ὑμᾶς.
Πῶς κλίνεται ἡ ὃς ἀντωνυμία οὕτως ὃς
ἄχρηστον ἐστὶ τῆς εὐθείας ἐστὶ δὲ τῶν ἀλ
λων πτώσεων, ἐν χρήσει ἡ γενικὴ οὗ ἡ δοτι
κὴ οἷ ἡ αἰτιατικὴ ἕ· ἐν τοῖς δυϊκοῖς σφω
ε καὶ σφὲ ἐπὶ αἰτιατικῆς μόνον καὶ σφὶν
ἐπὶ τῆς δοτικῆς τὰ πληθυντικὰ σφέ
ες σφεῖς σφέων σφῶν σφίσι σφέας σφᾶς
Πόσα κτητικά; ὀκτώ· ἀπὸ τῶν εἰρη-
μένων πρωτοτύπων παραγόμεναι
ὧν ἑκάστη τριχῶς κατὰ τὰ γένη λέγεται
ὅταν εἷς μόνος ἔχῃ τὸ κτῆμα ἀπὸ
τῶν ἑνικῶν τῆς ἐγὼ ἀντωνυμίας ὁ ἐμὸς
ἡ ἐμὴ τὸ ἐμόν· ὅταν δύο μετέχωσι

τοῦ κτήματος ἀπὸ τῶν δυϊκῶν ὁ νω-
ΐτερος ἡ νωϊτέρα τὸ νωΐτερον. ὅταν πλέ-
ους μετέχωσι τοῦ κτήματος. ἀπὸ
τῶν πληθυντικῶν ὁ ἡμέτερος ἡ ἡμετέ-
ρα τὸ ἡμέτερον.
Ἀπὸ τῆς συναντωνυμίας. ὁ σὸς ἡ σὴ τὸ
σὸν ὁ σφωΐτερος ἡ σφωϊτέρα τὸ σφωΐτε-
ρον ὁ ὑμέτερος ἡ ὑμετέρα τὸ ὑμέτερον.
Ἀπὸ τῆς . ος . ἀντωνυμίας ὅταν εἷς ἔ-
χῃ τὸ κτῆμα. ἑὸς ἡ ἑὴ τὸ ἑόν. ὅταν δύ-
ο μετέχωσι τοῦ κτήματος οὐκ ἔχει. ὅ-
ταν πλέους μετέχωσι τοῦ κτήματος
ὁ σφέτερος ἡ σφετέρα τὸ σφέτερον. ὥστε
κτητικαὶ ὡς εἴρηται ἀντωνυμίαι ὀκ-
τὼ ἐμὸς σὸς ἑὸς νωΐτερος σφωΐτερος ἡμέ-
τερος διὰ τοῦ . η . καὶ ὑμέτερος διὰ
τοῦ . υ . ψιλοῦ καὶ σφέτερος κλίνονται
δὲ πᾶσαι ἀπαραλλάκτως κατὰ τὰς
τῶν ὀνομάτων κλίσεις. ἐκείνοις ὑπο

πίπτουσαι. Πόσαι δεικτικαὶ δύο οὗ-
τος οὗ τὸ θηλυκὸν αὕτη τὸ οὐδέτερο,
τοῦτο καὶ ἐκεῖνος οὗ τὸ θηλυκὸν ἐκείνη.
τὸ οὐδέτρον ἐκεῖνο χρώμεθα δὲ τῇ ἐκεῖ
νος ἀντὶ τῆς ῥηθείσης πρωτοτύπου ἀν
τωνυμίας ὅσ διὰ τὸ ἐκλείπειν εἶναι ἄχρη
στον τὸ ἐκεῖνος δὲ καὶ ὄνομα ἀναφορι-
κὸν λέγεται κλίνεται δὲ ἡ οὗτος ἀντωνυ
μία οὕτως οὗτος. τούτου τούτῳ τοῦ
τον. ὦ οὗτος. τὰ δυϊκὰ τούτω τού
τοιν. ὦ τούτω.
Τὰ πληθυντικὰ οὗτοι. τούτων τούτοις
τούτους. ὦ οὗτοι τὸ θηλυκὸν αὕτη ταύ
της ταύτῃ ταύτην.
Τὰ δυϊκὰ ταῦτα. ταύταιν. ὦ ταῦτα
Τὰ πληθυντικὰ αὗται τούτων ταύταις
ταύτας. ὦ αὗται.
Τὸ οὐδέτερον τοῦτο τούτου τούτῳ τοῦτο
ὦ τοῦτο τὰ δυϊκὰ. τούτω τούτοιν. ὦ

τούτῳ. τὰ πληθυντικὰ ταῦτα τού
των τούτοις. ταῦτα. ὦ ταῦτα.
Ὁ ἐκεῖνος καὶ ἡ ἐκείνη καὶ τὸ ἐκεῖνο ταῖς
κλίσεσι τῶν ὀνομάτων ὑποπέπτωκε.
Πόσαι ἐπιταγματικαί, μία. ἐπὶ τῶν
γ΄ γενῶν λεγομένη. λαμβάνεται δὲ
καὶ ἐπὶ τῶν γ΄ προσώπων οἷον αὐτὸς
ἀντὶ τοῦ ἐγὼ καὶ ἀντὶ τοῦ. σύ. καὶ ἀν
τὶ τοῦ ἐκεῖνος καὶ αὕτη ἐπὶ τοῦ θηλυκοῦ
καὶ αὐτὸ ἐπὶ τοῦ οὐδετέρου καὶ ταῦτα δὲ
καὶ ταῖς κλίσεσι τῶν ὀνομάτων, ὑπο
πέπτωκε.
πόσαι σύνθετοι ἀντωνυμίαι, τρεῖς ἑκάστη
ἐπὶ τῶν γ΄ γενῶν λεγομένη διὸ τὶ δὲ ἐπὶ αὐ
τοπαθείας λαμβάνεται εὐθείας οὐκ ἔχου
σι αἱ γενικαὶ δὲ τούτων ἐμαυτοῦ σαυτοῦ
καὶ ἑαυτοῦ. τὰ θηλυκὰ ἐμαυτῆς σαυτῆς
καὶ ἑαυτῆς τὰ οὐδέτερα ἐμαυτοῦ σαυ
τοῦ καὶ ἑαυτοῦ καὶ ταῦτα δὲ ταῖς κλί

σεσὶ τῶν ὀνομάτων ὑποπέπτωκε. ἢ
ἐμαυτοῦ καὶ σαυτοῦ ἐν τοῖς πληθυντι-
κοῖς οὐ κατὰ σύνθεσιν· ἀλλὰ διῃρη-
μένως κλίνονται. οἷον ἡμῶν αὐτῶν ἡμῖν
αὐτοῖς ἡμᾶς αὐτοὺς ἢ δὲ ἑαυτοῦ καὶ κα-
τὰ συναίρεσιν καὶ διῃρημένως κλίνεται
καὶ γὰρ ἑαυτῶν καὶ σφῶν αὐτῶν καὶ σφί-
σιν αὐτοῖς καὶ ἑαυτοῖς καὶ σφᾶς αὐτοὺς
καὶ ἑαυτοὺς καὶ ἐπὶ τῶν ἄλλων ὁμοί-
ως.

Περὶ προθέσεως.

Πόσαι προθέσεις; δέκα καὶ ὀκτώ. μο-
νοσύλλαβοι μὲν ἕξ. ἐν εἰς ἐξ σὺν πρὸς
πρό. δισύλλαβοι δὲ δυοκαίδεκα
ἀνὰ κατὰ διὰ μετὰ παρὰ ἀντὶ ἐ-
πὶ περὶ ἀμφὶ ἀπὸ ὑπὸ ὑπέρ.
Ἰστέον ὅτι καὶ τινὰ ἐπιῤῥήματα. ἀντὶ
προθέσεων λαμβάνονται ἃ ὡς ἐπὶ τὸ
πλεῖστον τῇ γενικῇ συντάσσεται οἷον.

ἄνευ μέχρι καὶ τὰ λοιπά.

Περὶ ἐπιρρήματος.

Ποσαχῶς τὰ ἐπιρρήματα. πολλαχῶς
ἢ γὰρ χρόνου δηλωτικά εἰσιν οἷον νῦν
τότε αὖθις τόφρα ὄφρα τέως ἕως πη
νίκα ἡνίκα ἄψ ἔπειτα μετέπειτα. ἢ
καιροῦ παραστατικὰ οἷον σήμερον αὔρι
ον χθὲς ὃ καὶ ἐχθὲς λέγεται ἢ μεσότητος
οἷον καλῶς σοφῶς ἢ ποσότητος. οἷον
δὶς τρὶς τετράκις πεντάκις πολλάκις
ὀλιγάκις ἢ ποιότητος οἷον βοτρυδὸν ἀ
γεληδὸν ἢ τοπικὰ οἷον ἄνω κάτω ἔξω
ἔσω πόρρω ἐνώπιον καταμόνας χα-
μαὶ ἔνθεν ἔνθα ὅθεν ἐπέκεινα μακράν.
τῶν δὲ τοπικῶν σχέσεις εἰσὶ τρεῖς ἢ ἐν
τόπῳ ἢ εἰς τόπον ἢ ἐκ τόπου οἷον οἴκοι
οἴκαδε οἴκοθεν ἢ εὐχῆς σημαντικά.
οἷον εἴθε αἴθε ὄφελον ἢ σχετλιαστικά.
οἷον οὐαὶ ἰοὺ ὤμοι παπαὶ ἢ θαυμαστι

καὶ οἷον βαβαὶ φεῦ· ἢ ἀρνητικὰ οἷον· οὐ·
οὐδαμῶς οὔκουν· ἢ παραβολῆς καὶ ὁμοιώ
σεως· οἷον ὡς ὥσπερ καθὰ καθάπερ ἠΰ
ἠΰτε· ἢ εἰκασμοῦ οἷον, ἴσως τάχα τυ
χόν· ἢ τάξεως οἷον ἑξῆς ἐφεξῆς· καὶ ἀθροί
σεως οἷον ἄρδην ἅμα· ἢ παρακελεύσεως
οἷον, ἄγε· φέρε· δεῦτε· εἶα· δεῦρο ἴθι
καὶ συγκρίσεως οἷον μᾶλλον ἧττον· ἢ ἐρωτή
σεως οἷον, πόθεν· ποῦ· πηνίκα πῶς· ἢ ἐ
πιτάσεως· οἷον ἄγαν πάνυ μάλιστα·
σφόδρα ἢ βεβαιώσεως οἷον δηλαδὴ δὴ
πούθεν πάντως ὄντως· ἢ θετικὰ οἷον, ἀ
ναγνωστέον πλευστέον καὶ κατωμοτικὰ
οἷον νὴ ναὶ καὶ ἀπομωτικὰ οἷον μά· ἢ θει
ασμοῦ οἷον εὐοῖ εὐάν·

περὶ συνδέσμων·

πόσοι τρόποι τῶν συνδέσμων· ὀκτώ·
οἱ μὲν γὰρ εἰσὶ συμπλεκτικοί· οἱ δέ,

διαζευκτικοί οἱ δὲ συναπτικοί οἱ δὲ
παρασυναπτικοί οἱ δὲ αἰτιολογικοί
οἱ δὲ ἀπορρηματικοί. οἱ δὲ συλλογι-
στικοί οἱ δὲ παραπληρωματικοί.
Τίνες εἰσὶ συμπλεκτικοί ὅσοι τὴν ἑρ-
μηνείαν ἐπ᾽ ἄπειρον ἐκφερομένην συν-
δοῦσιν εἰσὶ δὲ οἵδε μὲν δέ. τέ. καὶ ἀλ-
λά ἠμὲν ἠδέ. ἰδέ ἀτὰρ αὐτὰρ ἤτοι.
μέν. ἄν.
Τίνες εἰσὶ διαζευκτικοὶ ὅσοι τὴν μὲν
φράσιν συνδοῦσιν ἀπὸ δὲ πράγμα-
τος εἰς πρᾶγμα διιστῶσιν εἰσὶ δὲ οἵδε
ἢ ἤτοι ἠέ.
Τίνες εἰσὶ συναπτικοὶ ὅσοι ὕπαρξιν μὲν
δηλοῦσι σημαίνουσιν δὲ ἀκολουθίαν καὶ
τάξιν εἰσὶ δὲ οἵδε εἰ. εἴπερ. εἰδὴ εἰδή-
περ. Τίνες εἰσὶ παρασυνα-
πτικοὶ ὅσοι μεθ᾽ ὑπάρξεως καὶ τάξιν
δηλοῦσιν. εἰσὶ δὲ οἵδε ἐπεί ἐπείπερ.

πειδὴ ἐπειδήπερ.
τίνες εἰσὶν αἰτιολογικοὶ ὅσοι ἐπ' ἀπο-
δόσει αἰτίας παραλαμβάνονται εἰσὶ
δὲ οἵδε ἵνα ὄφρα ὅπως ἕνεκα οὕνεκα
γὰρ καθὸ καθότι καθόσον καὶ διὸ δι-
ότι παρά τοῖς νῦν ἃ οἱ παλαιοὶ διή-
ρουν. τίνες εἰσὶν ἀπορρημα-
τικοὶ ὅσοις ἐπ' ἀποροῦντες εἰώθαμεν
χρῆσθαι εἰσὶ δὲ οἵδε ἆρα. κᾆτα μῶν.
τίνες εἰσὶ συλλογιστικοὶ ὅσοι πρὸς τὰς
ἐπιφοράς τε καὶ συλλήψεις. τῶν ἀπο
δείξεων εὖ διάκεινται εἰσὶ δὲ οἵδε ἄρα
ἀλλὰ ἀλλὰ μὴν τοίνυν τοιγάρτοι τοιγαροῦν
τίνες εἰσὶ παραπληρωματικοί. ὅσοι
μέτρου ἢ κόσμου ἕνεκεν παραλαμβάνον
ται εἰσὶ δὲ οἵδε δή. ῥὰ. νὺ. ὃ καὶ νῦν.
γράφεται ἀφ' οὗ τὸ τοίνυν. πού. τοι.
θὴν. ἄρ δῆτα πὲρ πῶ μὴν ἂν αὖ οὖν κὲν
γέ. τίνες δὲ προστιθέασι

καὶ ἐναντιωματικούς. τίνες δ'
εἰσὶν ἐναντιωματικοί· οἱ δηλοῦντες τὸ
ἐναντίον τῇ δυνάμει τοῦ πράγματος
οἷον ἔμπης ὅμως.
Ἰστέον ὅτι πολλοὶ σύνδεσμοι οἱ αὐτοὶ ἐ-
πὶ πολλῶν τρόπων λέγονται. ὡς ὁ ἀλλὰ
καὶ συμπλεκτικὸς καὶ συλλογιστικὸς
ὁ ἂν καὶ συμπλεκτικὸς. καὶ παρα-
πληρωματικὸς.

περὶ συγκριτικοῦ ὀνόματος.

Συγκριτικὸν ὄνομά ἐστι δι' οὗ σύγκρι-
σις γίνεται πρὸς ὁμογενεῖς· οἷον ὁ ἀχιλ
λεὺς ἰσχυρότερος τῶν δαναῶν ἐστί. πρὸς
ἑτερογενεῖς οἷον ἕκτωρ ἦν τολμηρότερος
τῶν κεφαλήνων.
Οἱ τύποι τῶν συγκριτικῶν δύο εἰσὶ
ἢ γὰρ εἰς. ων. οἷον μείζων ἐστὶ εἰς ρος οἷον
πλουσιώτερος.
Τῶν ὀνομάτων τῶν εἰς ος ληγόντων δ'

μὲν μακρὰ ἔχῃ ἢ παραλήγουσα φύσει ἢ θέσει τότε τὸ ἔσχατον εἰς ο μικρὸν μένει καὶ εἰς τερος ποιεῖ τὸ συγκριτικὸν οἷον ἔνδοξος ἐνδοξότερος παλαιὸς παλαιότερος πρᾶος πραότερος. εἰ δὲ βραχεῖα ἔχῃ τὸ ο μικρὸν εἰς ω μέγα τρέπεται οἷον ὠφέλιμος ὠφελιμώτερος νέος νεώτερος σοφὸς σοφώτερος.

Ὁμοίως καὶ τὰ ὑπερθετικὰ προσθέσει τοῦ. τατος. σχηματίζονται οἷον ἔνδοξος ἐνδοξότατος παλαιὸς παλαιότατος νέος νεώτατος ὠφέλιμος ὠφελιμώτατος. πλὴν Μέγας μείζων μέγιστος Καλὸς καλλίων κάλλιστος Ἀγαθὸς ἀμείνων ἢ βελτίων κρείττων βέλτιστος ἄριστος κράτιστος.

πολὺς πλείων πλεῖστος Κακὸς κακίων ἢ χείρων κάκιστος.

Μικρὸς μείων ἢ ἥττων ἐλάττων ἐλα

χιστος. Αἰσχρὸς αἰσχίων αἴσ-
χιστος. Ἐχθρὸς ἐχθίων ἔχθιστος.
Ῥάδιος ῥάων. ῥᾶστος.
Φίλος δὲ κατὰ συγκοπὴν ποιεῖ, φίλ-
τατος,.
Τὰ δὲ εἰς ης διὰ τοῦ ος. τὴν γενικὴν,
ποιοῦντα ἀπὸ τοῦ ἰδίου οὐδετέρου εἰς
ες. τὸ συγκριτικὸν καὶ τὸ ὑπερθετικὸν
ποιεῖ οἷον ἀληθὴς ἀληθέστερος ἀληθέστατος
θεοφιλὴς θεοφιλέστερος θεοφιλέστατος ἀ-
κριβὴς ἀκριβέστερος ἀκριβέστατος.
Τὰ δὲ εἰς. υς. διὰ τοῦ υτερος τὸ συγ-
κριτικὸν, καὶ διὰ τοῦ υτατος τὸ ὑπερ-
θετικὸν ποιεῖ οἷον βραχὺς βραχύτερος
βραχύτατος γλυκὺς γλυκύτερος.
γλυκύτατος μέντοι ποιοῦσι.
Ἡδὺς ἡδίων ἥδιστος.
ταχὺς ταχύτερος τάχιστος
Τὰ δὲ ἄλλα, εἰς ἄλλο τι λήγοντα, ὡς

ἐπὶ τὸ πλεῖστον εἰς έστερος καὶ εἰς έστα-
τος ποιεῖ οἷον·

Χαρίεις χαριέστερος χαριέστατος
Σώφρων σωφρονέστερος σωφρονέστατος
Εὔνους εὐνούστερος εὐνούστατος

τὰ συγκριτικὰ, τῇ γενικῇ συντάσσε-
ται καὶ τῇ δοτικῇ σημαίνουσιν ὑπερβο-
λὴν οἷον, ἀνδρόνικος μείζων ἐστὶ θεοδώ-
ρου ἑνὶ δακτύλῳ·

τὰ θηλυκά, εἰς· α· εἰ μὲν ὀξύτονα· ἢ
περισπώμενα εἴη· α· ἐκτείνει οἷον, χαρὰ
ἀθηνᾶ προπερισπώμενα δὲ καὶ παρο-
ξύτονα συστέλλει· οἷον μοῦσα δόξα·
ἐὰν δὲ ἀρσενικὸν ἔχει τῷ τέλει τοῦ ἰδί-
ου ἀρσενικοῦ ἐν τῇ γενικῇ ὁμοχρονεῖ·
οἷον οἰκεῖος οἰκείου· οἰκεία· βαρὺς· βαρέ-
ος βαρεῖα· εἰ δὲ ἀπὸ τῶν εἰς ευω ῥημάτων
γίνεται μακροκατάληκτει οἷον βασι-
λεύω βασίλεια·

Τὰ δὲ εἰς αια δισύλλαβα μὲν βραχὺ
τὸ α ἔχουσιν οἷον γραῖα μαῖα πολυσύλλα
βα δὲ μακρὸν οἷον σεληναία.
Τὰ δὲ εἰς ρα καὶ μονοφθόγγῳ παρα-
ληγόμενα μακρὸν αὐτὸ ἔχουσιν, οἷον, πήρα
διφθόγγῳ δὲ παραληγόμενα, βραχύ.
οἷον μοῖρα πεῖρα.
Τὰ δὲ εἰς δα. καὶ θα.. μακρύνουσιν αὐτὸ
οἷον, λήδα κϊσαύθα τὰ δὲ ἄλλα πάν
τα, βραχέα εἰσίν.
Ὥστε συλλέγουσιν ἔξεστιν ἅπαντα τὰ ὀξύ
τονα καὶ περισπώμενα, θηλυκὰ καὶ τὰ
ἔχοντα ἀρσενικὸν μακροκαταληκ
τοῦν τὴν γενικὴν καὶ τὰ παρὰ τοῦ ἐνω
καὶ τὰ εἰς αῖα. πολυσύλλαβα καὶ τὰ
εἰς. ρα. μονοφθόγγῳ παραλήγοντα καὶ
τὰ εἰς δα καὶ καθόλου μακρὸν τηρεῖν
τὸ. α. τὰ δὲ λοιπά, βραχύ.
Κανόνες, περὶ ψιλουμένων. καὶ δασυ

νομένων λέξεων.

πόσα πνεύματα. δύο. δασεῖα. καὶ ψιλή. Πᾶσα λέξις ἀπὸ φωνήεντος ἢ διφθόγγου ἀρχομένη, δασύνεται ἢ ψιλοῦται· ἀπὸ δὲ τῶν συμφώνων, μόνον τὸ. ρ. ἐν ἀρχῇ λέξεως ὂν δασύνεται.

Κανόνες καθόλου.

Σημείωσαι καθόλου ἔν τε τοῖς ὀνόμασι καὶ ὀνομαστικοῖς ὅτι τὸ τῆς εὐθείας πνεῦμα φυλάσσεται καὶ ἐν τοῖς ἀπ' ἐκείνης κλινομένοις ὃ πνεῦμα κλίσεως ἐν τοῖς ἀπ' ἐκείνης λεγέσθω.

Καὶ ἐν τοῖς ῥήμασι δὲ τὸ πνεῦμα τοῦ θέματος φυλάσσεται καὶ ἐν τοῖς ἀπ' ἐκείνου κλινομένοις οἷον ἁμαρτάνω ἡμάρτανον ἕλκω εἷλκον ὃ πνεῦμα κλίσεως ἐν τοῖς ἀπ' ἐκείνου λεγέσθω πλὴν τοῦ ἔχω ἕξω καὶ ἅλλομαι ἧλτο.

Ἔτι ἐπὶ τῶν ῥημάτων, τὸ ἐν τοῖς πα-

ρωχημένοις ε προερχόμενον καὶ ἀπο-
πίπτον· λοῦται εἰ δὲ προέρχεται μὲν
οὐκ ἀποπίπτει δὲ ὥσπερ ἐπὶ τοῦ παρακει-
μένου ἐνίοτε συμβαίνει τὸ πνεῦμα τοῦ ἐ-
νεστῶτος ἔχει οἷον ἵστημι ἕστηκα ἑστηκώς
καὶ ταῦτα δὲ πνεύματα κλίσεως λεγέ-
σθωσαν· πᾶν ἄρθρον ἀπὸ φωνήεντος ἀρ-
χόμενον δασύνεται· πᾶσα ἀντωνυμία
ἀπὸ μὲν τοῦ ε ἀρχομένη ·λοῦται πλὴν
τῆς ε καὶ τῶν ἐξ αὐτῆς ἀπὸ δὲ ἄλλου
φωνήεντος ἀρχομένη δασύνεται·
πλὴν τῆς αὐτὸς καὶ τῶν ἀπ᾽ αὐτῆς· πᾶ-
σα πρόθεσις ἀπὸ φωνήεντος ἀρχομένη,
·λοῦται πλὴν τῆς ὑπὸ καὶ ὑπὲρ· πᾶς
σύνδεσμος ἀπὸ φωνήεντος ἀρχόμενος,
ψιλοῦ· πλὴν τῶν αἰτιολογικῶν οἱ γὰρ αἰ-
τιολογικοὶ πάντες δασύνονται πλὴν οὖ
ὄφρα· Συνάγεται ἀπὸ τῶν εἰρημένων κα-
θόλου περὶ τῶν μερῶν τοῦ λόγου ὅτι δα-

σύνονται. πᾶν ἄρθρον ἀπὸ φωνήεντος
ἀρχόμενον καὶ πᾶσα ἀντωνυμία ἀ-
πὸ φωνήεντος πλὴν τῆς αὐτὸς καὶ πλὴν
τῶν ἀπὸ τοῦ ε. ὡς εἴρηται καὶ ἡ ὑπὸ
πρόθεσις καὶ ἡ ὑπὲρ καὶ πάντες οἱ αἰτι
ολογικοὶ πλὴν τοῦ ὄφρα.

Ἕτεροι κανόνες καθόλου.

Τὰ παράγωγα εἰσώζει τὴν ἀρχήν, τὸ
πνεῦμα τοῦ ἰδίου πρωτοτύπου ἔχει.
πλὴν τοῦ ἱδρὼς ἀπὸ τοῦ ἰδίω τὸ κοπι
ῶ. ἄμυδις ἀντὶ τοῦ ἅμα ἀπαὐτοῦ εἱρ
μὸς ἀπὸ τοῦ εἴρω καλεῖται δὲ πνεῦμα
παραγωγῆς. τὰ κατὰ ἀφέρεσιν ψιλοῦ
συμφώνου γινόμενα ἀναφορικὰ δασύ
νονται οἷον τόσος ὅσος τηνίκα ἡνίκα
πλὴν τόφρα ὄφρα τῆμος ἦμος. τὰ αἰο
λικὰ πάντα ψιλοῦνται οἱ γὰρ αἰολεῖς
ἀγνοοῦσι τὴν δασεῖαν.
τὰ ἀριθμητικὰ πάντα δασύνονται

πλὴν τῶν ὀκτὼ, καὶ ἐννέα καὶ τῶν ἀπ' αὐ-
τῶν. Ἐν τούτοις σημειῶσαι δασυνόμε
να, τὰ ἀριθμητικὰ, πλὴν τοῦ ὀκτὼ καὶ
ἐννέα· τὰ γὰρ ἄλλα, ἐν τοῖς κατὰ μέ
ρος κανόσιν ὑποπίπτει. Τούτων ὑπο-
κειμένων ἀμεταποιήτων λοιπὸν λέγω
μεν κατὰ μέρος ἕκαστον τῶν φωνηέντων
καὶ διφθόγγων μετὰ πάντων τῶν γραμ
μάτων θεωροῦντες σωζομένων προηγου
μένως, τῶν εἰρημένων καθόλου κανόνων,
τούτων γὰρ ἐξῃρημένων, τὰ λοιπὰ τοῖς
κατὰ μέρος ὑποπίπτει περὶ ὧν ἤδη λέ
γωμεν. Κανόνες, κατὰ μέρος.
τὸ. α. εἴτε ἐπίτασιν δηλοῖ εἴτε στέρη
σιν εἴτε ὁμοῦ εἴτε ὀλίγον εἴτε πλεονάζει
ψιλοῦται πλὴν τοῦ ἅλυσις ἐκ τοῦ στε
ρητικοῦ. α. καὶ τοῦ λύω καὶ ἅδης ἐκ
τοῦ. α. στερητικοῦ καὶ ἴδω ἀθροιστι-
κὸν. α. δασύνεται οἷον ἅπας. τὸ. α.

πρὸ ἑαυτοῦ ψιλοῦται ἀεὶ καὶ πρὸ τοῦ β ψιλοῦται· πρὸ γ ψι· πλὴν ἁγνός ἅγιος καὶ τῶν ἀπὸ τούτων παρηγμένων ὥσπερ ἐπὶ πάντων τῶν ἐξαιρουμένων νοείσθω· πρὸ δ ψι· πλὴν ἅδης ἁδρός· πρὸ ε ψι ἀεὶ πρὸ ζ ψι ἀεὶ πλὴν ἅζομαι τὸ σέβομαι· πρὸ η ψι ἀεὶ πρὸ θ ι κ ψι ἀεὶ πρὸ λ ἢ ἑμὸς ἢ διπλοῦ ψι πλὴν ἅλς ἁλῶ τὸ κρατῶ ἅλις ἁλίζω ἅλως ἅλυσις ἁλικαρνασὸς ἅλλομαι· πρὸ μ ψι πλὴν ἅμα ἁμαρτάνω ἅμιλλα ἅμμα τὸ σχοινίον ἅμις ἁμηγέπη συμφώνου δὲ ἐπιφερομένου μετὰ τὸ μ ἀεὶ ψι· πρὸ τοῦ ν ψι πλὴν ἁνδάνω τὸ ἀρέσκω πρὸ ξ ο ψι ἀεὶ πρὸ π ψι πλὴν ἅπας ἁπλοῦς ἅπαξ ἅπτομαι πρὸ ρ ψι πλὴν ἀραιὸν πρὸ σ ψι ἀεὶ πρὸ τ ψι πλὴν ἅτα ἐπὶ τῆς σημασίας τοῦ ἅτινα ἅτερος πρὸ υ φ χ ψι ἀεὶ πρὸ ψ ψιλοῦται

πλὴν ἁψὶς ἅψεα τὰ μέλη πρὸ τοῦ · ω · μεγάλου ψιλοῦνται ἀεί. Συνάγεται ὅτι τὸ α πρὸ παντὸς ψι ἀεὶ καὶ πρὸ συμφώνων τῶν · θ φ χ κ σ ξ ψι ἀεί. Ὥστε δασυνόμενα τοῦ α ἐν οἷς μετὰ τὸ β ρ ἐπάγοιτο ἔτι ἁβρὸς ἐν οἷς μετὰ τὸ λ μ ἐπάγεται ἔτι ἅλς ἁλῶ καὶ τὰ λοιπά · ἐν οἷς μετὰ τὸ ρ μ ἐπάγεται ἢ τὸ π · ἔτι ἁραιὸν ἅτερος. Τὸ · ε · πλεονάζον ἐν ἀρχῇ λέξεως, τὸ τοῦ ἑπομένου πνεῦμα λαμβάνει οἷον, ὥρων ἐώρων εἴκοσιν ἐείκοσιν. Τὸ · ε · πρὸ · α · δασύνεται πλὴν · ἐὰν · καὶ ἔα · ω · πρὸ · β · ψι πλὴν ἑβραῖος πρὸ · γ · ψι ἀεί, πρὸ δ · ψι · πλὴν ἕδος τὸ ἔδαφος ἑδεῖται ἀντὶ τοῦ καθεδεῖται ἕδνον πρὸ · ε · ψι πλὴν τοῦ ἑέλδωρ ἡ ἐπιθυμία πρὸ · ζ · η οὐχ εὕρηται ψι μὴ ἀπὸ κλίσεως πρὸ · θ · ψι · ἀεί, πρὸ · ι · ψι · ἀεὶ πρὸ · κ · δασύ

μεται πλὴν ὀχυρὸς καὶ ἐκεχειρία πρὸ
λ· ἢ ἑνὸς ἢ διττοῦ ψι ἂν μὴ τό· κ· ἐπά
γοιτο καὶ πλὴν τοῦ ἕλλην ἕλη ἑλήσπον
τος ἕλενος ἑλένη ἕλος ἕλω ἑλίσσω ἑλικὼν
ἕλμινς πρὸ μ· ψι ἀεὶ πρό· ν· ἢ διττοῦ
ψι τὸ γὰρ ἕνεκα αἰτιολογικόν ἐστι πρὸ
ξ· ψι πλὴν τὸ ἕξω ἕξις ἑξῆς πρὸ π· ψι
πλὴν τοῦ ἕπομαι πρό· ο· δασύνεται
ἀεὶ πρό· ρ· ψι πλὴν τοῦ ἕρκος ἑρμῆς·
ἔρσω ἕρδω πρό· σ· ψι πλὴν τῶν ἐχόν
των αὐτὸ μετὰ· τ· οἷον ἑστιῶ πρὸ· τ·
ται πλὴν τοῦ ἕτερος ἕτοιμος ἑταῖρος
πρὸ υ· ται ἀεὶ πρό· φ· καὶ πρὸ χ ψι ται
πλὴν ἑφθὸς πρό ψ· ἀεὶ δασύνεται πρὸ
·ω· δασύνεται πλὴν τοῦ ἔω τὸ ὑπάρ
χω καὶ ἐῶ·

Συνάγεται ὅτι τὸ ε πρὸ φωνηέντων τῶν
ε· ι· υ· ψι πλὴν τοῦ ἑέλδωρ πρὸ δὲ τῶν
α· ο· ω· πλὴν ἔαρ καὶ ἑάω καὶ ἑῶ πρὸ

συμφώνων τῶν θ · φ χ · γ · μ · ν ταῖα
εἰ πλὴν ἕφθος πρὸ ψ · δασύνεται ἀεί ·
ὥστε δανυόμενα · ε · ἐν οἷς τὸ · α · ἐπάγοι
το πλὴν ἔαρ καὶ ἐάω ἑβραῖος ἕδον
ἐν οἷς τὸ · κ · ἐπάγεται πλὴν ἑκυρὸς ἐν
οἷς μετὰ τὸ λ κ ἐπάγεται ἕλλω ἑλλήσ
ποντος ἕξω ἕξις ἐν οἷς ο ἐπάγεται ἕπο
μαι ἕρκος ἕρδω · ἐν οἷς ς ἐπάγεται ·
ἐν οἷς ω μέγα ἐπάγεται πλὴν ἔω καὶ ἐῶ ·
τὸ η πρὸ τοῦ α ἀπὸ κλίσεως μόνον ἤτοι
αὐξήσεως εὕρηται πρὸ β · δασύνεται εἰ
μὴ ἀπὸ πλεονασμοῦ ᾖ · οἷον · ἠβαιόν
πρὸ γ · δασύνεται πλὴν τοῦ ἠγάθεος
πρὸ · δ · ται πλὴν τοῦ ἡδονή πρὸ τῶν
ε · ζ η · θ ι · ψι ἀεὶ πρὸ κ · δασύνεται
πλὴν τοῦ ἦκα ἀντὶ τοῦ ἡσύχως πρὸ · λ
ψι · πλὴν τοῦ ἧλος ἥλιος πρὸ · μ · ψι ·
πλὴν τοῦ ἡμέρα ἥμερος ἥμισυ ἧμων ὁ
ἀκοντιστής πρὸ τοῦ ν ψι πλὴν τοῦ ἡνία

πρὸ τοῦ ξ οὐχ εὕρηται εἰ μὴ ἀπὸ κλίσε
ως. πρὸ ο καὶ ω ψιλοῦται. πλὴν ἡ παρ·
πρὸ ρ ψιλοῦται πλὴν ἡρώδης ἥρα ἡρωδιανὸς
ἥρων ἡρακλῆς. πρὸ τοῦ σ δασύνεται
ἀεί. πρὸ τ ψιλοῦται πλὴν ἡττῶμαι.
πρὸ υ ψιλοῦται. πρὸ φ ψιλοῦται πλὴν ἥφαιστος
καὶ ἡφαιστίων. πρὸ χ ψιλοῦται ἀεί. πρὸ ψ
οὐχ εὕρηται εἰ μὴ κατ' ἀπ' αὐξήσεως. πρὸ ω·
μέγα ψιλοῦται ἀεί. συνάγεται ὅτι τὸ η
πρὸ πάντων τῶν φωνηέντων ψιλοῦται.
πρὸ συμφώνων ζ θ χ ψιλοῦται ἀεί. πρὸ γ σ
δασύνεται ὥστε δασυνόμενα ἢ ἐν οἷς
τὸ β ἕπεται εἰ μὴ ἀπὸ πλεονασμοῦ
πρόσκειται. ἐν οἷς γ ἕπεται ἡδὺς. ἐν οἷς
τὸ κ ἕπεται πλὴν τοῦ κα ἧλος ἥλιος
ἡμέρα ἥμερος ἥμισυ ἡμῶν κ παρ ἡρώ-
δης ἡρωδιανὸς ἥρα ἡρόφιλος ἐν οἷς τὸ
σ ἕπεται ἡττῶμαι ἥφαιστος ἡφαιστίων
Τὸ ι πρὸ τοῦ α β γ ψιλοῦται ἀεὶ καὶ

πρὸ τοῦ · δ · λοῦται ἂν μὴ τὸ · ρ · ἐπά
γοιτο · πλὴν τοῦ ἵδρις · πρὸ τοῦ · ε ·
ψι · πλὴν ἱερὸν ἱέραξ πρὸ τοῦ ζ δασύ
νεται ἀεί πρό · η · λοῦται πλὴν τοῦ ἵημι
πρό · θ · ψι ἀεὶ πρὸ · ι · ὃ χεύρηται πρὸ
κ · λοῦται πλὴ τοῦ ἱκανός ἱκετεύω ἱ-
κάνω ἱκνοῦμαι πρὸ · λ · ἢ ἑνός ἢ διπλοῦ
ψι · πλὴν ἵλεως πρὸ μ · φωνήεντος μὲν ἐ
πιφερομένου δασύνεται ἀεὶ συμφώ-
νου δὲ ἐπιφερομένου, λοῦται ἀεὶ πρό · ν
ψι ἀεὶ πρὸ τῶν · ξ · καὶ · ο · λοῦται ἀεὶ
πρό · π · ἑνὸς μὲν ψι πλὴν τοῦ ἵπτα
μαι διπλοῦ δὲ, δασύνεται πρό ρ · λοῦ
ται ἀεὶ πρό σ · ψι ἂν μὴ τό · τ · ἐπάγοιτο
ἂν δὲ τὸ · τ · ἐπάγοιτο δασύνεται πλὴν
ἵστρος πρὸ τῶν τ · υ φ · χ ψ · ω · λοῦται
ἀεί · Συνάγεται, ὅτι τὸ ι · πρὸ πάν
των μὲν τῶν φωνηέντων λοῦται πλὴν ἱ
ερὸν ἱέραξ ἵημι πρὸ συμφώνων τῶν · β

γ θ. ξ. τ φ. χ ψι ἀεὶ πρὸ ζ. δὲ δασύ-
νεται ἀεί.

Ὥστε δασυνόμενα. ι. ταῦτα ἐν οἷς τὸ
δ. ρ ἕπεται πλὴν ἴδρις ἱερὸν ἱέραξ ἐν
οἷς τὸ ζ. ἐπάγεται ἵημι ἱκανὸς ἱκετεύ
ω ἱκάνω ἱκνοῦμαι ἵλεως ἐν οἷς μετὰ. μ
φωνῆεν ἐπιφέροιτο ἵνα ἵπταμαι ἐν οἷς
πτ. ἐπιφέρεται ἐν οἷς τὸ στ. ἐπάγεται
πλὴν τοῦ ἵστρος.

τὸ ο κατὰ πλεονασμόν, προστιθέμε
νον δασύνεται οἷον, ὁποσοῦν ὁπότερεν
τὸ ο. πρὸ τῶν α β γ λοῦται ἀεὶ πρὸ δ
ψι πλὴν ὀδὸς πρὸ τῶν ε ζ η θ ι λοῦται
ἀεὶ πρὸ κ. ψι πλὴν τοῦ ὁποῖος ὁπό-
σον γὰρ ἦν πρὸ λ. λοῦται πλὴν τοῦ ὅ-
λος ὅλμος ὁλκὴ πρὸ μ. λοῦται. πλὴν
τοῦ ὁμοῦ ὅμοιος ὅμως ὅμηρον καὶ ὅμη
ρος ὁμοκλὴ ὁμαλὸς ὅμιλος πρὸ ν καὶ
ξ ψι ἀεὶ πρὸ. π. λοῦται πλὴν ὅπλον

πρὸ τοῦ ρ ψι πλὴν τοῦ ὀρῶ ὄρος ὁ ὁρισ-
μὸς καὶ πλὴν ἀφώνων τὸ κ ἢ τὸ μ μετὰ
ρ ἐπάγοι το ὅρμος ὁρμῶ ὁρκίζω ὅρμα-
θὸς. πρὸ τοῦ σ φωνήεντος μὲν ἐπιφερο-
μένου δασύνεται πλὴν τοῦ ὄσιρις συμ-
φώνου δὲ ἐπιφερομένου ψι. πλὴν τοῦ
ὅτι ὅταν πρὸ τῶν φ χ ψ. λοῦται ἀεὶ
πρὸ τοῦ ο ἢ υ ἢ ω οὐχ εὑρηται.
Συνάγεται ὅτι τὸ ο πρὸ πάντων τῶν
φωνηέντων ψι πρὸ συμφώνων τῶν. β γ
δ θ ν ξ φ χ ψ λοῦται πλὴν τοῦ ὁδός.
Ὥστε δασυνόμενα τοῦ ο ταῦτα ὁ-
δὸς ὄχλος ὄκλος ὅλος ὅλμος ὁλκὸ
μοῦ ὅμοιος ὅμως ὁμηρου ὅμηρος ὅμο
κλὴ ὅμιλος ὁμαλὸς ὅπλον ὁρῶ ὅρος ἐν
οἷς μετὰ τὸ ρ ἐπάγεται τὸ κ ἢ τν μ.
ἐν οἷς μετὰ τὸ σ φωνῆεν ἐπιφέρεται πλὴν
τοῦ ὄσιρις ὅτι ὅταν.
Τὸ υ δασύνεται ἀεὶ πλὴν τῶν αἰολικῶν

οἱ γὰρ αἰολεῖς ἀγνοοῦσι τὴν δασεῖαν.
Τὸ ω. μέγα ψιλοῦται ἀεὶ πλὴν τῶν πα-
ρὰ τοῦ ὥρα· ὧδε ἀντὶ οὕτως ὡρακιῶ.
Η αι δίφθογγος ἐν ταῖς ὑπὲρ μίαν συλ-
λαβὴν λέξεσι ψι· εἰ μὴ τὸ μ. ἐπάγοιτο
πλὴν τοῦ αἱρῶ αἱροῦμαι.
Η αυ δίφθογγος, ψι πλὴν αὑτῆ καὶ αὑ-
τοῦ ἀντὶ τοῦ ἑαυτοῦ ὡς εἴρηται πρότε-
ρον. Η ει. δίφθογγος ψιλοῦται πλὴν εἵ-
λως, εἱλύσω, εἱμαρμένη, εἷμα, τὸ ἔνδυμα,
εἱμένος, εἷς, εἷος, εἱρμός, εἱρκτή. Η ευ δίφ-
θογγος ψι πλὴν εὕω τὸ φωτίζω καὶ φλογί-
ζω, εὕδω τὸ κοιμῶμαι, εὑρίσκω. Η οι δίφ-
θογγος ἐν ταῖς ὑπὲρ μίαν συλλαβὴν λέξε-
σι ψι πλὴν οἵμος, οἷς δὲ τὸ πρόβατον ἐκ-
τοῦ οἷς λοῦται. Η ου δίφθογγος ψι οὕνε-
κα γὰρ αἰτιολογικὸν καὶ ὗ ἄρθρον δὲ
καὶ ἀναφορικὸν καὶ οὕτως δὲ ἀναφορι-
κόν τε καὶ ἀπὸ τῆς τούτων ἀντωνυμίας

ὥστε δασυνόμενα ἐν ταῖς διφθόγγοις
Ηαι. καὶ οι. ἐν τοῖς μονοσυλλάβοις· εἰ
μὴ ἐπίρρημα εἴη. ἔτι ἐν οἷς μετὰ τὸ αι
τὸ μ ἐπάγεται αὕτη αὐτοῦ εἵλως εἱλύ-
σω εἱμαρμένη εἷμα εἱμένος εἷς εἵως εἱρ-
μὸς εἱρκτὴ ἁνδάνω ἅρω ἅω ἁρίσκω οἷ-
μος εἵνεκα οὗ.

Ζητοῦντες τοίνυν περὶ τινος πότερον
δασύνεται ἢ ψιλοῦται εἰ μὲν ὄνομα εἴη λαμβά-
νομεν τὴν εὐθεῖαν· εἰ δὲ ῥῆμα ἢ μετοχὴ
τὸ θέμα· εἰ δὲ ἄλλο τι τῶν μερῶν τοῦ λό-
γου, αὐτὸ ἐκεῖνο· καὶ εἰ μὲν παράγωγον,
λαμβάνομεν ἐξ οὗ παράγεται καθ' ὅ ἐ-
στι τὸ πρᾶγμα· εἰ δὲ σύνθετον, ἐξ οὗ συν-
τίθεται καθ' ὅ ἐστι τὸ πρᾶγμα. καὶ εἰ
μὲν τινι τῶν καθόλου κανόνων ὑπο-
πίπτει ἀπ' ἐκείνου τοῦτο κρίνομεν μὴ φρον-
τίζοντες τῶν κατὰ μέρος· εἰ δὲ μή,

τότε ἀπὸ τῶν κα
τὰ μέρος τοῦ
το κρίνο
μεν.

Ὁριστικὰ ἐνεστώς.

Εἰμὶ εἶς καὶ εἶ ἐστὶ ἐστὸν ἐστὸν ἐσμὲν ἐστὲ εἰσί.

Παρατατικός.

Ἦν ἦς ἦ καὶ ἦν ἦτον ἤτην ἦμεν ἦτε ἦσαν.

Μέλλων.

Ἔσομαι ἔσεαι ἔσῃ ἔσεται ἐσόμεθον ἔσε
σθον ἔσεσθον ἐσόμεθα ἔσεσθε ἔσονται.

Προστακτικὰ ἐνεστώς.

Ἴσθι καὶ ἔσω ἔστω ἔστον ἔστων ἔστε. ἔστω-
σαν.

Εὐκτικὰ ἐνεστώς.

Εἴην εἴης εἴη εἴητον εἰήτην εἴημεν εἴητε
εἴησαν καὶ εἶεν.

Μέλλων·

Ἐσοίμην ἔσοιο ἔσοιτο· ἐσοίμεθον ἔσοιαθον ἐσοίαθην ἐσοίμεθα ἔσοιαθε ἔσοιντο·

Ὑποτακτικὰ ἐνεστῶς·

Ἐὰν ὦ ἐὰν ἦς ἐὰν ἦ· ἐὰν ἦτον ἦτον ἐὰν ὦμεν· ἦτε ὦσιν·

Ἀπαρέμφατα ἐνεστῶς·

Εἶναι· μέλλων· ἔσεσθαι·

Μετοχὴ ἐνεστῶς·

Ὁ ὢν τοῦ ὄντος· Ἡ οὖσα τῆς οὔσης·
Τὸ ὂν τοῦ ὄντος· μέλλων· Ὁ ἐσόμενος του
Ἡ ἐσομένη τῆς· κς· τὸ ἐσόμενον· του·

·ΤΕΛΟΣ·ΤΗΣ·ΓΡΑΜΜΑΤΙ·
ΚΗΣ·ΤΟΥ ΧΡΥΣΟ
ΛΩΡΑ·

α·β·γ·δ·ε·ζ·η·θ·ι·κ·λ·μ·ν·ξ·ο
π·ρ·σ·τ·υ·φ·χ·ψ·ω·
αι·αυ·οι·ου·ει·ευ·